MARCI DIACONI

VITA PORPHYRII EPISCOPI GAZENSIS

EDIDERVNT

SOCIETATIS PHILOLOGAE BONNENSIS

SODALES

LIPSIAE

IN AEDIBVS B. G. TEVBNERI

MDCCCLXXXXV

LIPSIAE: TYPIS B. G. TEVBNERI

FRANCISCO · BVECHELER

PRAECEPTORI · CARISSIMO
SODALICII · SVI · CONSTITVTORI · ET · PATRONO
QVINTVM · MAGISTERII · BONNENSIS · LVSTRVM
FELICITER · PERACTVM
PIO · GRATOQVE · ANIMO · GRATVLANTVR
SOCIETATIS · PHILOLOGAE · BONNENSIS · SODALES

AEMILIVS · KRVEGER
AVGVSTVS · NVTH
ERNESTVS · LOMMATZSCH
FRANCISCVS · HESTER
ADALBERTVS · WAHL
FRIDERICVS · DE · BISSING
CAROLVS · HERTLING

MENSE · APRILI · MDCCCLXXXXV

PRAEFATIO

Marci diaconi vita S. Porphyrii episcopi Gazensis omnium quotquot exstant vitarum sanctorum inter praestantissimas iure ab omnibus numeratur. Describitur enim eius belli, quod Christiani gesserunt cum veterum deorum cultoribus, tamquam actus extremus: deorum cultus qui quasi in propugnaculum se receperat Gazam in urbem, ibi Porphyrii potissimum opera profligatur. Quae omnia scriptor et ipse coram vidit et accurate simpliciterque litteris mandavit.

Tamen libellus antea per latinam tantum versionem notus anno demum h. s. LXXIV genuino textui redditus est a Mauritio Haupt opere postumo. Sed editio ista et recondita est et minime erratis vacat ut codex Vind., quo uno illa nititur, denuo inspectus docuit. Accedit, quod alter codex Oxonii in bibliotheca Bodleiana inventus est, qui totam vitam emendatiorem et integriorem exhibet. Itaque haud alienum duximus, Marci librum denuo edere quam potuimus emendatum.

Ad textum recensendum hi igitur nobis subsidio fuerunt codices:

B Baroccianus graec. 238 membran. s. XI binis co- B
lumnis nitidissime exaratus, qui continet vitam S. Porphyrii fol. 25—54^{a}.[1]) Periit post fol. 34 unum folium (huius editionis p. 27, 26—30, 8) inter saecula XIII et XVI. Librarius enim quidam s. XIII in imo folio, quo incipit vita S. Porphyrii, adnotavit $\varphi\upsilon^{\lambda\lambda}\ \overline{\lambda\alpha}$, nunc vero

1) cf. Coxe Cat. mss. bibl. Bodl. t. I p. 406.

triginta solummodo exstant, neque plura numeravit librarius s. XVI, qui singulis foliis codicis numeros adscripsit. Contulit codicem a nobis rogatus E. J. Palmer, olim sodalis nunc Oxonii collegii Balliolensis socius, suasque et observationes de codice librarioque et coniecturas utilissimas adiecit.

Totus codex una eademque manu exaratus et permultis locis correctus est. Saepissime falsi accentus mutati sunt; praeterea hic illic radendo (14, 5. 20, 8. 21, 10. 50, 16) aut suprascribendo (11, 3. 22, 16) vera lectio restituta est; littera verbumve primo omissa superaddita

τῶν

p. 4, 19 παλι^{ν} 32, 17 πρ^{ο}cχημα 41, 11 ἐκείνων τὸν λόγων, nonnumquam verbum (34, 23. 45, 10) vel littera (4, 19 ἄλ·λ̣·οc) repetita deleta sunt.

Praeter hanc manum duae aliae distinguendae sunt: una, quae nonnullis locis[1]) litteras paene evanidas (sic tamen, ut cognosci possint) nigro atramento redintegravit, altera (B^2) quae errores librarii correxit locis his: p. 61, 19 καυθέντεc B, ο supra ϵ scripsit B^2 p. 67, 21 ἧν B, ν linea delevit spiritumque et accentum mutavit B^2 p. 70, 14 ἐνδημήcασ B: -cάσ^{σ} B^2 p. 75, 20 addidit B^2 τὸν.

Neque vero inutile erit codicis B naturam etiam accuratius describere.[2]) Spiritus promiscue ponuntur, ut vix causam rationemque cognoscas[3]); haud raro omittuntur, post οὐκ fere ubique velut 2, 7 οὐκαν 4, 6 οὐκάcημος 22, 18 οὐκηνυξεν, vel falso adiciuntur inprimis in verbis compositis talibusque, quorum aliqua pars aliquid per se sensus videbatur habere velut τοῦτων (10, 19) τοιαῦτησ (15, 22) μὴ ἄναι (21, 23 i. μιᾶναι).

---

1) velut p. 67, 5 sq. verba τὸν ὕμνον . . . . κύριε.

2) Qualia hic afferentur de spirituum et accentuum rationibus, in apparatu omisimus nisi forte aliam ob causam commemoranda erant.

3) Gaudet librarius litteris ϵ et α imponere lenem spiritum, litterae ο asperum.

Accentus saepissime confunduntur, neque tamen multos locos invenias quibus falsae syllabae adscripti sint. Bini accentus scribuntur eadem qua spiritus ratione e. g. τὸσαῦτα (50, 22) τὰφῇ (73, 7) καὶρὸσ (80, 11). Vocales a librario more Byzantinorum saepissime confunduntur ο et ω, ι η ει, αι et ε, υ et οι; (ι sim. et υ sim. confusarum nullum exstat exemplum certum) ε pro η scribitur 37, 17 ἐξέλθεται, nisi potius librarius indicativum et coniunctivum confudit. ι adscriptum semper omittitur. Consonantes litterae saepe geminatae scribuntur pro simplicibus λ ρ σ velut πολλύϲ 19, 3 ἔρρωϲ 4, 19 χρυϲϲῷ 14, 6, multo saepius simplices pro geminatis λ ν ρ σ velut ἄλα 5, 16 γενώμενοι 61, 8 ἐπιρεπήϲ 58, 20 θεϲαλονικέων 4, 11, 4, 19 in voce ἄλλοϲ altera littera λ expuncta est. Notandum ῥεβέκαϲ 35, 21. ν ἐφελκυϲτόν prout lubebat librarius apposuit.[1]) Falso littera addita est in verbis his: ἐγένετον (pro -το) 38, 1 παραλειμπάνων (pro -πάνω) 69, 21.[2]) γ ante litteras gutturales omittitur semper in verbis εὐϲπλαχνία et εὔϲπλαχνοϲ (semel 18, 25 ϲπλαγχνιϲθείϲ scribitur) et uno loco in ϲυγνῶναι 47, 13, nisi γ simplex pro geminato poni mavis putare. ν pro γ scribitur ante gutturalem in praepositione ϲύν ut ϲυνκακουχηθείϲ 4, 1 et ϲυνκαταβαινούϲηϲ 72, 14.

V codex Vindobonensis hist. graec. 3 membranaceus s. X vel XI[3]) continet amplum menologium mensis Februarii, vitam Porphyrii fol. 234—261. Contulit hunc codicem Useneri in usum Paulus Rabbow vere a. 1893, cum codex Bonnam transmissus esset. Quam collationem insigni cum liberalitate Usenerus nobis concessit. V

1) Nos eum secuti sumus.

2) Talia etiam in titulis sermonis volgaris haud raro inveniuntur velut τύχοιτον (pro -το) Papers of the am. school II 28 ss. βουληθῶν (pro -θῶ) Journ. of hell. stud. VIII p. 431. cf. etiam vita S. David Thess. ed. a V. Rose p. 8, 5. 10, 27.

3) Nessel codd. mss. bibl. Caes. t. II pars V p. 5 ss.

Ex hoc codice versio latina fluxit Herveti primum edita a Laur. Surio Vit. SS. Febr. p. 200—212. Inde repetita est in Actis SS. Febr. t. III p. 643—661 ab Henschenio, qui libellum cum in nova capita multo aptiora distribuit tum Mazochii adnotationibus ornavit utilibus: quae omnia in suum usum vocavere et Gallandius Bibl. patr. t. IX p. 259—277 et Migneus PG. t. LXV p. 1211 sq. Hervetum autem codice V usum esse in promptu est: tam lectiones et lacunae inter se congruunt. Sat erit haec cum graecis contulisse. p. 12, 23 sic vertit Hervetus: 'erat enim beatus Porphyrius idoneus ad solvendum quidquid erat difficile divinae scripturae spiritus sancti'. Eadem res est p. 24, 14: 'ad sanctissimum episcopum Cpolitanum'. p. 42, 1 Hervetus verba cum corrupta tum a V expuncta omisit vertitque: 'si ea quae paulo post evanescunt tantam habent gloriam'. Finem faciat exemplum luculentissimum p. 79, 20: 'ille autem laetus ei et eius aviae iussit dari quotidie argenti quattuor nummos', quibus verbis codicis V lectionem translatum esse apparet.

Ex eodem codice editio princeps prodiit Mauritio Haupt auctore in commentationibus acad. Berol. a. 1874, cuius paginas nostris adscripsimus. Quae editio ut editore mortuo publicata ita non satis perpolita viros doctos ad emendandum incitavit velut Eberhardum (in relatt. Bursiani III p. 544 sq. et 554) et Usenerum (passim in libro de S. Pelagia Bonnae 1879); omnia collegit suasque coniecturas adiecit Joh. Draeseke in Hilgenfeldi actt. theolog. 1888 p. 354—374; idem vitae S. Porphyrii metaphrasin vernacula lingua conscripsit insertam commentationibus patristicis (a. 1889) p. 208 ss.

Denique ex codice V fluxit codex Ottobonianus graec. 92 s. XVI.[1]) Neque enim solum easdem eodemque ordine quas codex V vitas XXXVIII sanctorum continet (vit. Porph. fol. 266^a—298^a) sed etiam in singulis

1) cf. codd. mss. gr. Ottob. bibl. Vat. rec. E. Feron et F. Battaglini p. 56 s.

plane cum illo consentit.[1]) Sat est monuisse p. 12, 21 et 25 easdem lacunas et falsa supplementa codici Ottob. communia esse cum V.

Iam redeamus ad codicem V accuratius describendum. Quomodo spiritus et accentus positi sint, indicari nequit, quod talia in collatione non notata sunt. In scriptura librarius propemodum cum codice B consentit: litterae antistoechae quae vocantur confunduntur consonantesque liquidae λ et ρ falso vel geminantur vel non geminantur[2]): sed multo rarius haec fiunt quam in B. ι adscriptum hic illic scribitur inprimis in articulis velut 27, 11 τῶι Χω̄ι 33, 22 τῶι cῶμα 36, 20 αὐτῶι.[3]) Notabile praeterea augmentum in ἠνέβη 42, 5 et ἠνέγνω 42, 13. Codex saepissime ab ipso librario correctus est. Praeterea duae manus tempore posteriores sunt seiungendae: altera (V^2) nigro atramento usa plerumque litteras confusas et accentus correxit, eadem lacunam p. 12, 25 agnovit et supplere tentavit, p. 80, 12 ἡμετέ[ρα a V imperfectum relictum recte supplevit, ν addidit p. 57, 9 αὐτὴν p. 42, 1 verba λέγει ἵνα punctis circumscripsit. Altera manus (v) innumerabilibus fere locis in textu accentus et spiritus, in margine inprimis errores ex confusis litteris natos correxit. Aoristos ἔπεcαν tales ubique fere in priscam formam ἔπεcον restituit et augmenta in verbis a vocalibus οι incipientibus a V suo iure ut videtur omissa adiecit 4, 22. 8, 21. 52, 18. Erat igitur corrector homo grammaticus. Praeterea mutavit aut emendavit nonnullis locis, sic tamen ut nusquam fere[4]), nec nisi quid scribendum

---

1) Sat magnam partem codicis Joh. Graeven nostrum in usum contulit.

2) add. p. 14, 15 ἐρριμένον.

3) p. 53, 2 ἱερωΐων (ita etiam B ἡροΐον P) pro ἡρωεῖον habendum est ut tituli quoque sermonis volgaris docent. Accentus autem ut in ει (sive ι) ponatur, analogia postulat codicum scriptura (cf. etiam Callinici v. S. Hypatii 75, 6) consentiente.

4) nisi 23, 15 ἐπεcτόμιζεν 63, 23 τὸ πρωΐ 73, 2 ποιήcαcα. — p. 70, 14 ἐνδημηcάcηc cum B^2 congruit.

esset vix dubium esse potuit, cum codice B consentiret. Utra manus alteri tempore inferior sit ex eis, quae in sola Porphyrii vita invenimus, exemplis decerni nequit. Usenero iudice v tempore praeivit correctori V^2. Sed hoc iam nunc pro certo licet affirmare idque ex exemplis supra prolatis satis putamus apparere, utrumque sine exemplari ex ingenio emendasse.

B et V tantae vicinitatis vinculo sunt coniuncti, ut conicias unum utriusque codicis archetypum esse statuendum: tantus est scripturae et lectionum consensus. Iam in hoc codice saepissime litterae antistoechae erant confusae; ε pro η scripta 7, 18. 10, 9. 40, 15. 78, 15; η pro ε semel 79, 15 θύγατηρ; consonantes λ ρ μ ν[1]) falso vel geminatae vel non geminatae; ν falso additum accusativis δράκαν 46, 19 νύκταν 47, 24 σπυρίδαν 66, 24 ἀσθενήν 77, 7. Praeterea sat memorabiles corruptelae B et V communes ex illo exemplo deducendae sunt velut 1, 14 εἶτε διαφθείρεις 9, 1 διαπορευόμενα pro -ρούμενα 19, 21 ss. ubique λυδυναῖος scribitur pro αὐδυναῖος 73, 19 ἄλλων ἐθνῶν. Ex exemplis quae restant fere innumerabilibus sufficiat eligere duo. 78, 11 post verbum καθίσαντες B spatium vacuum relinquit, quo loco V inserit μετελάβομεν. Sed quoniam nihil desideratur, hoc loco archetypus membranae lacunam habuisse videtur, quam B accurate servavit, V coniectura explevit. 45, 21 praebet B λάβε $\overline{\text{πρεσ}}$, V λάβετε πατέρες, falso hic, nam λάβε πάτερ restituendum esse ex sententia efficitur. Praebuit igitur archetypus hoc loco quod B λάβε πατέρες. Simul ex his exemplis manifestum est B, cum archetypi lectiones et integrius et melius servaverit, codici V esse praeferendum. Neque tamen V idcirco neglegendum esse demonstret locus, quo ne B quidem integer est, p. 43, 5: de 14, 6[2]) (et 24, 8) ubi V plura exhibet dubia res est. Itaque ubicunque V meliorem lectionem praebere videbatur, hunc

1) cf. ἄμμας 63, 21 ἐννεός 56, 12 κιναβάρεως 67, 22.
2) nusquam enim huius libelli ζωοποιὸς σταυρός legitur.

sequi non dubitavimus: si dubitare possis, utrum sequaris, codicis B lectionem excussimus.

Praeter hos duos codices exstat tertius s. X bibliothecae patriarcharum Hierosolymitanae[1]) primus, qui continet menologium mensis Februarii, vitam S. Porphyrii fol. 144^a—172^v ad diem XXVI (aeque ac V). Hunc dolemus quod pro spatii longinquitate non licuit in usum vocare.

Marci vitae adiunximus excerpta quae indagare potuimus duo: primum praebuit P codex Parisinus bibl. P
nat. 1452[2]) membran. s. X binis columnis nitide exaratus. Cuius Omontio ipso interveniente imaginem photographicam nobis comparavimus, qua codicis instar licuit uti. Codex enim cum membranae laesura tum madore sic corruptus est, ut permultis locis vix et ne vix quidem quid scriptum fuerit legi possit. Nonnumquam verba adversae paginae impressa licuit cognoscere. Quod omnia fere in integrum restituta legas, imprimis acumini Augusti Brinkmann deberi grato animo profitemur. Supplementa uncis ⌊⌉ indicavimus. Ut tempus definiamus quo epitome facta sit, aliquid praesto est auxilii. In fine enim libelli talia precatur auctor: ὁ δὲ τὸν ὅσιόν cου ἱεράρχην καὶ πιστὸν θεράποντα Πορφύριον θεὸς δοξάσας . . . λύτρωσαι καὶ νῦν τὴν ἐκκλησίαν cου πάσης αἱρετικῆς πλάνης καὶ ἀποστασίας τῆς κατεχούσης τὸν κόσμον. Haec enim verba aperte ad iconoclastarum furorem spectant. Atque cum initio saeculi IX studium vitas sanctorum legendi et colligendi quasi revixerit, cuius rei exemplo sunt Methodius patriarcha Theodorus Studita alii, vix a vero aberrabimus, si his ipsis temporibus vitae Porphyrii epitomen attribuimus.

Paulo posterior videtur esse M metaphrasis codicis Mosquensis 184 sec. Matthaeium, 376 sec. Wladimirum[3]), M

1) cf. Papadopulos-Kerameus Ἱεροσολυμιτικὴ Βιβλιοθήκη t. I p. 7.

2) cf. Omont Inv. sommaire t. II p. 47.

3) Matthaei codd. mss. Mosq. p. 120 Wladimir codd. bibl. synod. Mosq. t. I p. 563.

s. XI fol. 120^{v}—129^{v}, quem in fine docetur antea fuisse in monte Atho: αὔτη ἡ βίβλος ἔχουσα μαρτύρια τῶν ἁγίων δύο μηνῶν Φεβρουαρίου καὶ Μαρτίου ὑπάρχει τῆς μονῆς τοῦ ἁγίου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου, ἡ ἐπονομαζομένη τοῦ Κωνσταμονήτου. Descripsit Christianus Boehm olim sodalis. Qua ut recte utaris, non obliviscendum est legem illam de exitu periodi, a Guil. Meyer Spirensi subtili ingenio detectam[1]), accuratissime observari ita ut vel formas novare non dubitet scriptor velut 104, 1 ἀνηγγέλλη. De codice, quo usus est metaphrasta, certi quicquam non potest proferri, P autem epitomen ex exemplo codicibus BV emendatiore ductam esse demonstrare videntur lectiones ἡροΐον 53, 2 κρητὰ γένους 53, 3 al. fortasse etiam Σαλάνθα 78, 16.[2])

Haec de subsidiis nostris habuimus, quae diceremus. Restat, ut libentes meritoque gratias agamus Hermanno Usener, praeceptori carissimo, qui cum codicis V collationem nobis concessit tum consilio semper nos egregie iuvit, nec non Augusto Brinkmann, olim sodali, qui quam bene de hoc libello sit meritus, quaevis pagina facile doceat.

---

1) W. Meyer Der accentuirte Versschlufs in der griechischen Prosa. Goettingen 1891.

2) De nominibus Syriacis a Marco commemoratis cf. Arnoldus Meyer Jesu Muttersprache Friburgi 1896 append. D.

ΜΑΡΚΟΥ
ΒΙΟΣ ΠΟΡΦΥΡΙΟΥ

B	=	codex Baroccianus
V	=	codex Vindobonensis
P	=	Epitome Parisina
M	=	Metaphrasis Mosquensis
Ha	=	Haupt
Us	=	Usener
Eb	=	Eberhard
Dr	=	Draeseke

ΒΙΟΣ ΤΟΥ ΑΓΙΟΥ ΠΟΡΦΥΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΓΑΖΗΣ

Τῶν ἁγίων ἀνδρῶν τοὺς ἄθλους καὶ τὸν θεϊκὸν αὐτῶν ζῆλόν τε καὶ πόθον καλόν ἐστιν τοῖς ὀφθαλμοῖς θεωρεῖν (δρώμενα γὰρ ἀξιοφίλητα γίνεται), φέρει δὲ ὅμως ὠφέλειαν οὐ μετρίαν καὶ τὰ διηγήματα παρὰ τῶν ἀκριβῶς εἰδότων ταῖς ψυχαῖς τῶν ἀκουόντων ὑπεισερχόμενα. πιστοτέρα μὲν ἀκοῆς ἡ θέα, πείθει δὲ καὶ ἀκοὴ ἐὰν ὑπὸ ἀξιοπίστων εἴη τὰ λεγόμενα. εἰ μὲν οὖν ἀρᾳδιούργητος ἔμενεν ἡ τῶν ὠφελίμων διήγησις καὶ μὴ τῇ ἀληθείᾳ τὸ ψεῦδος ἐνεσπείρετο, περιττὸν ἦν τὸ σύγγραμμα τῶν τοιούτων, ἱκανῆς οὔσης πρὸς οἰκοδομὴν τῆς ἀληθείας ἐκ διαδοχῆς ἀεὶ ἐνσπειρομένης ταῖς ἀκοαῖς τῶν ἐπιγινομένων ἀνθρώπων· ἐπειδὴ δὲ ὁ χρόνος παραφθείρει [εἴτε διαφθείρεις] εἴτε διὰ τῆς λήθης εἴτε διὰ τῆς ῥᾳδιουργίας, ἀναγκαίως ἐπὶ τὸ παρὸν σύγγραμμα ἐλήλυθα, ἵνα μὴ τῷ μακρῷ χρόνῳ λήθη τις γένηται τοιούτου ἁγίου

1 μηνὶ φευρουαρίω κε̄ B μηνὶ φευρουαρίω κς̄ V βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν πορφυρίου ἐπισκόπου γάζης VM 5 ἀξιοφήλιτα BV corr. Ha ὀφέλειαν B 7 ὑπησερχόμενα B 8 πείθει: ἐπειδὴ B πείδει V corr. v ἀκοὴν BV corr. Ha 9 ἀξιωπίστων rad. corr. V εἴη: ἤ Ha 10 ἔμεινεν B rad. corr. V ὀφελήμων BV corr. v 13 ἐνσπειρωμένης BV corr. v 14 εἴτε διαφθείρεις (-ρεῖς B) del. Ha 15 λίθης B 17 λίθη B

ἀνδρός, λέγω δὴ Πορφυρίου τοῦ ὁσίου. τὸ γὰρ μνημονεῦσαι τῶν αὐτοῦ κατορθωμάτων φάρμακον ἀλεξητή-
2 ριον γίνεται τοῖς ἀκούουσιν. ἄτοπον γάρ ἐστιν ποιητὰς τραγῳδοποιοὺς καὶ ἄλλους τοιούτους συγγραφέας [τὸ] εἰς γέλωτα καὶ γραώδεις μύθους καταναλῶσαι τοὺς λόγους, ἡμᾶς δὲ περιιδεῖν λήθῃ παραδιδομένους ἁγίους ἄνδρας καὶ ἀξιομνημονεύτους. ποίαν οὐκ ἂν δικαίως παράσχω | δίκην μὴ παραδιδοὺς συγγραφῇ βίον τοιούτου θεοφιλοῦς ἀνδρός, βίον φιλοσοφίας διδάσκαλον τοῦ τὴν ἐν οὐρανῷ πολιτείαν ἐζηλωκότος. πολέμους τε αὐτοῦ καὶ ἀντιστάσεις ἱστορήσομεν οὐ μόνον πρὸς τοὺς τῆς εἰδωλομανίας ἀρχηγούς τε καὶ προστάτας, ἀλλὰ καὶ πρὸς δῆμον ὁλόκληρον πάσης μανίας πεπληρωμένον. ἐμνημόνευεν γὰρ τῶν τοῦ μακαρίου ἀποστόλου ῥητῶν δι' ὧν φησιν· 'ἀναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ καὶ ἅπαντα κατεργασάμενοι στῆναι'. ταύτην τὴν πανοπλίαν ἐνδυσάμενος εἰς τοὺς ἀγῶνας εἰσῆλθεν ὁ εἰρημένος ἀπόστολος, ἀλλὰ καὶ τοιούτους καὶ τηλικούτους ἔχων τοὺς ἀντιπάλους ὁ τὴν ὁμοίαν ἅμιλλαν κεκτημένος τῷ ἀποστόλῳ Πορφύριος ἴσην καὶ τὴν νίκην ἀνεδήσατο καὶ τρόπαιον ἤγειρεν ἐς μέσον τῆς Γαζαίων, τὴν τοίνυν κτισθεῖσαν ὑπ' αὐτοῦ ἁγίαν τοῦ Χριστοῦ ἐκκλησίαν.

15 ad Ephes. 6, 13

4 τραγοδοποιοὺς B τραγῳδοποιοὺς ⟨καὶ κωμῳδοποιοὺς⟩ καὶ coni. Eb τὸ del. Ha 5 γραώδης B 6 περιειδεῖν BV corr. v λίθη B 7 ποίαν ⟨οὖν⟩ οὐκ Ha 10 πολέμους δὲ Ha αὐτῷ BV corr. Ha 11 εἰστορήσωμεν B (ἱς-) V corr. Ha 12 εἰδολομανίας B 13 πεπληρωμένων BV corr. v 15 ἀναλάβεται BV corr. v 21 ἴσιν B 22 εἰς τὸ μέσον τῶν γαζέων V τοίνυν: f. τὸ νῦν

παρεῖχεν δὲ αὐτῷ τὴν νίκην οὐχ ἡ ἀνθρωπεία φύϲιϲ, ἀλλ' ἡ γνώμη τὴν θείαν χάριν ἐφελκομένη· ἐραϲτὴϲ γὰρ θερμότατοϲ γενόμενοϲ τοῦ Χριϲτοῦ πάντα παθεῖν καὶ δρᾶϲαι ἠνέϲχετο. πόϲαϲ πολέμων προϲβολὰϲ ὁ τοιοῦτοϲ ἀνὴρ ὑπὸ τῶν δι' ἐναντίαϲ ἐδέξατο, πόϲαϲ ϲυϲκευὰϲ καὶ μυκτηριϲμοὺϲ ὑπέμεινεν. ἀλλ' ἐπειδὴ πάντα τὰ κατὰ 3 τὸν ἀοίδιμον ἄνδρα οὐ δυνατὸν ἐξειπεῖν, πολλά τε ὄντα καὶ τοῖϲ πολλοῖϲ δοκοῦντα εἶναι ἄπιϲτα, βραχέα ἐκθήϲομαι ἅτινα καὶ ἐμνημόνευϲα ϲυνοικήϲαϲ αὐτῷ πλεῖϲτον χρόνον καὶ ἀπολαύϲαϲ τῆϲ μακαρίαϲ καὶ φοβερᾶϲ ἐκείνηϲ ψυχῆϲ τῆϲ μετὰ ἀγγέλων ϲυμπολιτευομένηϲ. τοῦτον οὖν τὸν πᾶν εἶδοϲ ἀρετῆϲ εἰληφότα τίϲ οὐκ ἂν δικαίωϲ ἐπαινέϲειεν; οἶδα μὲν οὖν ὡϲ τῆϲ ἀρετῆϲ τοῦ τοιούτου ἀνδρὸϲ οὐδεὶϲ ἂν ἐφίκοιτο λόγοϲ· ὅμωϲ γε ἐγχειρητέον, θαρϲοῦντόϲ μου ταῖϲ ἁγίαιϲ αὐτοῦ εὐχαῖϲ. ϲυγγράψω δὲ τὴν ἐκείνου εὐφημίαν οὐ κομπῷ λόγῳ· οὔτε γὰρ ἡ καλλιλεξία τὸν βίον τῶν τοιούτων κοϲμεῖν εἴωθεν, ἀλλ' ἡ ἀρετὴ τῶν ἔργων καὶ αὐτὴν τὴν φράϲιν μεγαλύνει. ὅθεν κἀγὼ θαρρῶν εἰϲ τὰϲ ἁγίαϲ εὐχὰϲ τοῦ εἰρημένου ὁϲίου ἀνδρὸϲ προϲέρχομαι τῷδε τῷ ϲυγγράμματι, αἰτούμενοϲ δι' αὐτῶν τὴν παρὰ τοῦ κυρίου Ἰηϲοῦ Χριϲτοῦ χάριν τε καὶ βοήθειαν εἰϲ τὸ δυνηθῆναι οἵᾳ δήποτε προφάϲει τὴν ἀρετὴν τοῦ ἁγίου ἀνδρὸϲ διηγήϲαϲθαι· αἰτῶ δὲ τοὺϲ ἐντυγχάνονταϲ τῷδε τῷ ϲυγγράμματι μὴ ἀπιϲτεῖν τοῖϲ λεγομένοιϲ· αὐτόπτηϲ γὰρ τῆϲ ἀρετῆϲ τοῦ

1 οὐχ ἡ: οὐχι B ἀνθρωπία BV 6 μυκτιριϲμοὺϲ V corr. v 7 ἀοίδημον B 8 ἐκθήϲωμαι B 10 φοβερᾶϲ: ϲοβαρᾶϲ Eb 13 ἐπενέϲειεν B οἴδαμεν BV 14 ἐφέκοιτο ex ἐφόκοιτο V ἐνχειρητέον V 16 οὔτε γάρ: οὐδὲ γάρ Ha et sic saepius 17 καλιλεξία V 18 φάϲιν BV corr. Ha μεγαλύνη B 25 ἀπιϲτῶν BV corr. v

ἀνδρὸς ἐγενόμην συνοικήσας καὶ συμπλεύσας καὶ συγκακουχηθεὶς αὐτῷ ἕως τῆς τελευταίας ἡμέρας τῆς ἐνθάδε αὐτοῦ ζωῆς. ἔνθεν δὲ ἀρχή μοι γένηται τοῦ τῆς διηγήσεως λόγου.

4 Γάζα | πόλις ἐστὶν τῆς Παλαιστίνης ἐν μεθορίῳ τῆς Αἰγύπτου ὑπάρχουσα, οὐκ ἄσημος δὲ αὕτη τυγχάνουσα, ἀλλὰ καὶ πολύανδρος καὶ τῶν ἐμφανῶν πόλεων οὖσα· ἤκμαζεν δὲ ἐν αὐτῇ κατ' ἐκεῖνο καιροῦ ἡ περὶ τὰ εἴδωλα τῶν ἀνθρώπων μανία. ταύτης τὴν ἱερωσύνην ἀπεδέξατο ὁ παρ' ἡμῶν εὐφημούμενος Πορφύριος. πατρίδα μὲν ἔσχεν τὴν ἐπουράνιον Ἱερουσαλὴμ (εἰς ταύτην γὰρ καὶ ἀπεγράψατο), τὴν δὲ ἐπίγειον τὴν Θεσσαλονικέων, γένος δὲ ἦν αὐτοῦ ἐπίσημον. τούτῳ θεῖος ἔρως ὑπεισῆλθεν καταλεῖψαι πατρίδα καὶ λαμπρότητα γένους καὶ πλοῦτον ἄπειρον καὶ ἀσπάσασθαι τὸν μονήρη βίον, καὶ πλεύσας ἐκ τῆς Θεσσαλονικέων καταλαμβάνει τὴν Αἴγυπτον. εὐθέως δὲ ὥρμησεν ἐπὶ τὴν Σκῆτιν καὶ ἀξιοῦται μετ' ὀλίγας ἡμέρας τοῦ τιμίου προσχήματος. καὶ συνδιατρίψας ἐκεῖ τοῖς ἁγίοις πατράσιν πενταετῆ χρόνον, πάλιν ἄλλος θεῖος ἔρως αὐτῷ ὑπεισῆλθεν προσκυνῆσαι τοὺς ἁγίους καὶ σεβασμίους τοῦ θεοῦ τόπους, καὶ γενόμενος ἐκεῖσε καὶ προσκυνήσας, ἀπελθὼν εἰς τὰ μέρη τοῦ Ἰορδάνου οἴκησεν ἐν σπηλαίῳ, ὁμοίως κἀκεῖ διατρίψας ἔτη πέντε μετὰ πολλῆς κακουχίας. ἐκ δὲ τῆς πολλῆς ξηρότητος καὶ ἀνωμαλίας τῶν τόπων ἐκείνων περιέπεσεν

1 συνκακουχηθεὶς BV corr. v 3 ἐνθένδε δὲ coni. Eb 4 παλαιστήνης V corr. v 7 ἐκείνω καιροῦ B ἐκεῖνο* καιρ[οῦ] c. ras. V 8 ἱεροσύνην B 10 ἔσχηκεν V 11 et 15 θεσαλονικέων B 13 λαμπρωτάτου γένους B 14 μονήρι B 16 σκίτην BV σκήτην (P)MHa 19 πάλι' ἄλ·λ·ος θεῖος ἔρρως B 21 μέρει B 22 ᾤκησεν vHa 24 ἀνομαλίας V corr. v περιέπεσε V

μεγάλῃ νόcῳ. ὁρῶν δὲ αὐτὸν ἐν ἐcχάτῳ κινδύνῳ κατ᾽ οἰκονομίαν παρακαλεῖ τινα τῶν γνωρίμων ἀναλαβεῖν αὐτὸν εἰc τὰ Ἱεροcόλυμα· τὸ δὲ πάθος ἦν ἥπατος cκίρωμα μετὰ πυρετοῦ cυνεχοῦc λεπτοτάτου. τοῦ γοῦν τοιούτου πάθουc ἐπικρατοῦντος καὶ νύττοντος ἀπαύcτωc τὰ ἐνδόcθια καὶ τοῦ cώματος τηκομένου αὐτὸc οὐκ ἐπαύετο καθ᾽ ἡμέραν περιερχόμενος τοὺc ἁγίους τόπους κεκυφὼc καὶ μὴ ἰcχύων ἀνορθῶcαι τὴν αὐτοῦ ἡλικίαν, ἀλλὰ ῥάβδῳ ἐπερειδόμενος.

κατ᾽ ἐκεῖνον δὲ τὸν καιρὸν cυνέβη κἀμὲ ἐκ τῆc Ἀcίαc καταπλεῦcαι χάριν τοῦ προcκυνῆcαι τοὺc cεβαcμίους τόπους, καὶ γενόμενος ἐν αὐτοῖc διέτριψα πολὺν χρόνον, τρεφόμενος ἐκ τοῦ ἐμοῦ ἐργοχείρου· εἶχον γὰρ τὴν τοῦ καλλιγράφου τέχνην. θεωρῶν δὲ τὸν ὅcιον πορευόμενον cυνεχῶc εἰc τὴν τοῦ Χριcτοῦ Ἀνάcταcιν καὶ εἰc τὰ ἄλλα εὐκτήρια ἐθαύμαζον, ὅτι ἐν τοcαύτῃ ἀcθενείᾳ cώματος οὐκ ὀκνεῖ οὕτωc cκύλλεcθαι. ἐν μιᾷ 5 δὲ τῶν ἡμερῶν cυναντήcαc αὐτῷ ἐν τοῖc ἀναβαθμοῖc τοῦ μαρτυρίου τοῦ κτιcθέντος ὑπὸ τοῦ μακαρίου Κωνcταντίνου τοῦ βαcιλέωc μὴ δυνάμενον τῷ ποδὶ προβῆναι, διαδραμὼν δὲ καὶ προτείναc αὐτῷ τὴν ἐμὴν χεῖρα παρεκάλουν αὐτὸν ταύτῃ ἐπερείδεcθαι καὶ ἀναβαίνειν τοὺc ἀναβαθμούc. ὁ δὲ οὐκ ἤθελεν λέγων· Οὐκ ἔcτιν

1 αὐτὸν B 2 'Ep. ad Coloss. 1, 25 κατὰ τὴν οἰκονομίαν τοῦ θεοῦ' Ha f. κατ᾽ οἰκονομίαν θεοῦ γνωρήμων B 6 τικομένου B 8 αὐτοῦ V 9 ἐπεριδώμενος B ἐπεριδόμενος V corr. v 14 καλιγράφου B 16 ἄλα B 17 ἀcθενια B οὗτος V cκύλεcθαι BV corr. Ha 18 cυναντίcαc B αὐτῷ: αὐτὸν Us 20 μὴ extra columnam add. V προcβῆναι BV 21 διαδραμὼν τε Ha χεῖ[ρ]α c. ras. V 22 ἐπερίδεcθαι BV corr. v 23 εἴθελεν V corr. v

δίκαιον | ἐμὲ τὸν πορευόμενον αἰτῆϲαι ϲυγχώρηϲιν ἁμαρτιῶν ἐπερείδεϲθαι χερϲὶν ἄλλου· ἀλλ᾽ ἔαϲον, ἀδελφέ, τὸν θεὸν ἰδεῖν τὸν κόπον μου, ἵνα κατὰ τὴν ἄφατον αὐτοῦ εὐϲπλαγχνίαν κἀμὲ ἐλεήϲῃ. ἐπορεύετο οὖν καὶ τῶν θείων λογίων ἠκροᾶτο τοῖϲ διδαϲκάλοιϲ ὑποτιθεὶϲ τὰ ὦτα, καὶ τῆϲ μυϲτικῆϲ τραπέζηϲ ἀεὶ μεταλαμβάνων ἐπανήρχετο εἰϲ τὸ καταγώγιον τὸ αὐτοῦ. ὁποῖον μὲν βίον ἔζη δῆλον ἦν. τοῦ γὰρ πάθουϲ τοϲοῦτον κατεφρόνει ὡϲ νομίζειν αὐτὸν ἐν ἀλλοτρίῳ ϲώματι τὴν νόϲον ἔχειν· ἡ γὰρ τοῦ θεοῦ ἐλπὶϲ ταύτην ἐξ αὐτοῦ
6 ἀπεφόρτου. τοῦτο δὲ μόνον αὖ ἐλύπει καὶ ἔδακνεν τὸ διαμεῖναι τὴν περιουϲίαν καὶ μὴ κατὰ τὸν εὐαγγελικὸν λόγον διαπραθῆναι καὶ διανεμηθῆναι τοῖϲ πτωχοῖϲ. αἴτιον δὲ τούτου τοῦ ἐμποδιϲμοῦ γέγονεν τὸ εἶναι τοὺϲ ἀδελφοὺϲ αὐτοῦ παῖδαϲ τυγχάνονταϲ ἡνίκα ἐξεδήμηϲεν τῆϲ ἰδίαϲ πατρίδοϲ. ἀνιώμενοϲ οὖν ἐπὶ τούτῳ αἰτεῖ με ἤδη ϲυνήθη αὐτῷ ὄντα (ἐξυπηρετούμην γὰρ αὐτῷ διὰ τὴν αὐτοῦ ἀϲθένειαν) πλεῦϲαι εἰϲ Θεϲϲαλονίκην καὶ διανεῖμαι τὴν οὐϲίαν μετὰ τῶν αὐτοῦ ἀδελφῶν, καὶ δούϲ μοι βιβλίον ἐντολῆϲ καὶ παραθέμενόϲ με τῷ κυρίῳ ἀπέλυϲεν, παραϲχὼν ἐλάχιϲτα δαπανήματα· οὔτε γὰρ ηὐπόρει τότε. εὐθέωϲ κατελθὼν εἰϲ Ἀϲκάλωνα καὶ εὑρὼν πλοῖον ἀνήχθην καὶ δι᾽ ἡμερῶν δέκα τριῶν εὐπλοήϲαντεϲ ἐγε-

12 Matth. 19, 21

1 αἰτίϲαι B 2 ἐπερίδεϲθαι BV corr. v 3 εἰδεῖν B ἵν[α] c. ras. V 4 εὐϲπλαχνίαν B fere constanter 5 ἠκροάτω BV corr. v 9 ὡϲ νομίζειν: cf. Athan. v. Antonii p. 965ª Migne ἀλλωτρίω V corr. v 11 ἐλύπη BV corr. v 13 καὶ διανεμηθῆναι om., in marg. add. διαπραθῆναι καὶ διανεμηθῆναι B 16 πρατρίδοϲ B 17 ϲυνήθει V 18 ἀϲθένιαν B θεϲαλωνίκην B θεϲϲαλ[ο]νίκην c. ras. V 22 f. εὐθέωϲ δὲ ἀϲκαλῶνα B

νόμεθα εἰς Θεσσαλονίκην καὶ ἐμφανίσας τὴν ἔγγραφον
ἐντολὴν διένειμον τὰ πράγματα μετὰ τῶν αὐτοῦ ἀδελ-
φῶν. διαπέπρακα δὲ αὐτοῖς τὰ λαχόντα μοι κτήματα
χρυσῶν τρισχιλίων, τὰ δὲ ἐσθήματα καὶ ἀργυρώματα
ἤγαγον μεθ' ἑαυτοῦ καὶ ἄλλους χρυσοῦς χιλίους τετρα-
κοσίους, καὶ συναγαγὼν πάντα διὰ μηνῶν τριῶν ἐπανέ-
πλευσα φθάσας δι' ἡμερῶν δέκα δύο εἰς τὸ ἐμπόριον
Ἀσκάλωνος, κἀκεῖθεν μισθωσάμενος κτήνη καὶ ταῦτα
φορτώσας ἀνῆλθον εἰς τὴν ἁγίαν πόλιν. εὐθέως δὲ ὡς
ἐθεάσατό με ὁ τρισμακάριος, περιεπτύξατό με μετὰ χαρᾶς
καὶ δακρύων (δύναται καὶ χαρὰ κινῆσαι δάκρυον), ἐγὼ
δὲ αὐτὸν οὐκ ἔγνων· εἶχεν γὰρ τὸ σῶμα ἐρρωμένον
σφόδρα καὶ τὴν ὄψιν ἐρυθράν. ἀνεκύλιον δὲ τοὺς ἐμοὺς
ὀφθαλμοὺς πυκνῶς αὐτῷ ἐνορῶν, αὐτὸς δὲ νοήσας καὶ 14
ὑπομειδιάσας χαριέντως ἔφη· Μὴ θαυμάσῃς, ἀδελφὲ 7
Μάρκε, ὁρῶν με ὑγιῆ καὶ ἐρρωμένον, ἀλλὰ μάθε τὴν
αἰτίαν τῆς ὑγείας καὶ τότε ὑπερθαύμασον τὴν ἄφατον
φιλανθρωπίαν τοῦ Χριστοῦ, πῶς τὰ ἀπηλπισμένα τοῖς
ἀνθρώποις παρ' αὐτῷ εὐδιόρθωτα τυγχάνει. ἐγὼ δὲ
παρεκάλουν αὐτὸν εἰπεῖν μοι τὴν αἰτίαν τῆς ὑγείας
καὶ πῶς τοιοῦτο πάθος περιέγραψεν. ὁ δέ μοι ἀπεκρί-
νατο· Πρὸ ἡμερῶν περί που τεσσαράκοντα ἐμοῦ ὄντος
ἐν τῇ ἀγρυπνίᾳ τῆς ἁγίας κυριακῆς κατέσχεν με ἄφατος
ὀδύνη τοῦ ἥπατος, καὶ μὴ φέρων τὴν ἀλγηδόνα ἀπελ-

1 θεσαλονίκην B ἐμφανήσας B 4 αἰσθήματα B 6 μει-
νῶν B 7 ἐμπορίον B 8 ἀσκαλῶνος B 11 νικῆσαι BV
corr. Ha 14 πυκνὸς V 15 ὑπομηδιάσας BV corr. Ha
χαριεντὸς B 17 ὑγίας BV constanter, corr. Ha 18 ἀπ-
ελπισμένα BV corr. Ha 19 ἐνδιόρθωτα B rad. corr. V 21 τοι-
ούτω BV corr. Ha 22 ὄντως V corr. v 24 τὴν ἀλγιδόνα B
(τὸν) V corr. v

θῶν | ἀνεκλίθην πληϲίον τοῦ ἁγίου κρανίου καὶ ἐκ τῆϲ πολλῆϲ ὀδύνηϲ ἐγενόμην ὡϲ ἐν ἐκϲτάϲει, καὶ ὁρῶ τὸν ϲωτῆρα καθηλωμένον ἐν ϲταυρῷ καὶ ἕνα τῶν λῃϲτῶν ϲὺν αὐτῷ κρεμάμενον ἐν ἄλλῳ ϲταυρῷ, καὶ ἄρχομαι κράζειν καὶ λέγειν τὴν φωνὴν τοῦ λῃϲτοῦ· ‘μνήϲθητί μου, κύριε, ὅταν ἔλθῃϲ ἐν τῇ βαϲιλείᾳ ϲου’. καὶ ἀποκριθεὶϲ ὁ ϲωτὴρ λέγει τῷ κρεμαμένῳ λῃϲτῇ· Κάτελθε ἐκ τοῦ ϲταυροῦ καὶ ϲῷϲον ἐκεῖνον τὸν ἀνακείμενον ὥϲπερ καὶ ϲὺ ἐϲώθηϲ. καὶ κατελθὼν ὁ λῃϲτὴϲ ἐκ τοῦ ϲταυροῦ περιέλαβέν με καὶ κατεφίληϲεν καὶ προτείναϲ τὴν δεξιὰν ἀνέϲτηϲέν με λέγων· Ἔλθὲ πρὸϲ τὸν ϲωτῆρα. καὶ εὐθέωϲ ἀνέϲτην καὶ ἔδραμον πρὸϲ αὐτόν, καὶ ὁρῶ αὐτὸν καταβάντα ἐκ τοῦ ϲταυροῦ καὶ λέγοντά μοι· Λάβε τὸ ξύλον τοῦτο καὶ φύλαξον· καὶ λαβὼν τὸ αὐτὸ τίμιον ξύλον καὶ βαϲτάϲαϲ εὐθέωϲ ἦλθον εἰϲ ἐμαυτὸν ἀπὸ τῆϲ ἐκϲτάϲεωϲ, καὶ ἐξ αὐτῆϲ τῆϲ ὥραϲ οὐκέτι μοι ὀδύνη
8 ἐγένετο, οὐδὲ ὁ τόποϲ τοῦ πάθουϲ δῆλόϲ ἐϲτιν. ἐγὼ δὲ ταῦτα ἀκούϲαϲ ὑπερεθαύμαϲα καὶ ἐδόξαϲα τὸν θεὸν τὸν ἀεὶ ἔλεοϲ ποιοῦντα τοῖϲ ἐπικαλουμένοιϲ αὐτόν, πολλῷ δὲ πλέον τοῖϲ γνηϲίωϲ καὶ εἰλικρινῶϲ δεομένοιϲ αὐτοῦ.

ἐξ ἐκείνου δὲ περιϲϲότερον οἰκονομήθην εἰϲ τὸν ἄνδρα (ὄντωϲ γὰρ αὐτὸν εἶχον δοῦλον θεοῦ), καὶ ἀποκαταϲτήϲαϲ αὐτῷ πάντα ὅϲα ἐνήνοχα ἔμεινα παρ᾽ αὐτῷ ἐξυπηρετούμενοϲ αὐτῷ καὶ ἀπολαύων τῶν πνευματικῶν αὐτοῦ λόγων· ὄντωϲ γὰρ ἦν ἄμεμπτοϲ ἄνθρωποϲ, πραότατοϲ, ἐλεήμων, ἔχων καὶ τὸ διακριτικὸν τῆϲ θείαϲ

5 Luc. 23, 42

1 ἀνεκλίθη B V corr. Ha   12 ἀνέϲτη B V corr. Ha   14 λαβὸν B   19 πολλῶν B   πολλῷ δὲ .... αὐτοῦ om. V   20 αὐτὸν B   21 ᾠκονομήθην v   23 ἐνίνοχα BV corr. v   25 αὐτῶν B   πραώτατοϲ BV corr. v   διακριτηκὸν BV -κρητι- v corr. Ha

γραφῆς καὶ διαλύων τὰ ἐν αὐτῇ διαπορούμενα εἴ καί
τις ἄλλος (ἀλλ' οὐδὲ τῆς ἔξωθεν παιδείας ἦν ἄμοιρος),
ἀπαντῶν καὶ ἀποστομίζων ἀνθρώπους ἀπίστους καὶ κακο-
πίστους, φιλόπτωχος, συμπαθητικός, ἐγγὺς ἔχων τὸ δά-
κρυον, γέροντας τιμῶν ὡς πατέρας, νεωτέρους ὡς ἀδελ-
φούς, παιδία ὡς τέκνα, ἤπιον καὶ ταπεινὸν ἔχων τὸ
ἦθος καὶ τὸν λόγον οὐκ ἐν προσποιήσει ⟨ἀλλ' ἐν πίστει⟩
καὶ ἀληθείᾳ (οὔτε γὰρ ἦν δόλος ἐν αὐτῷ), σωφρονέ-
στατος ὡς αὐτὸν φθάσαι τὴν τελείαν ἀπάθειαν, ἀόρ-
γητος, ἀμνησίκακος, μὴ συγχωρῶν τὸν ἥλιον δῦναι ἐπὶ
τῷ παροργισμῷ αὐτοῦ, πάντα ἔχων τὰ πάθη νεκρὰ πλὴν
τοῦ θυμοῦ ὃν ἐκίνει κατὰ τῶν ἐχθρῶν τῆς πίστεως.
λαβὼν δὲ παρ' ἐμοῦ τὰ χρήματα καὶ τὰ ἄλλα ἃ ἤνεγκα 9
καὶ πωλήσας τά τε ἐσθήματα καὶ ποιήσας τὸ πλεῖστον
τοῦ ἀργυρίου τίμια σκεύη τὰ λοιπὰ εἴσω ὀλίγου χρόνου
δέδωκεν τοῖς δεομένοις, οὐ μόνον ἐν τῇ ἁγίᾳ πόλει,
ἀλλὰ καὶ ἐν ἄλλαις πόλεσι καὶ κώμαις καὶ μοναστηρίοις,
μάλιστα τοῖς οὖσιν ἐν Αἰγύπτῳ· πολὺ γὰρ ἦν πτωχὰ τὰ
ἐκεῖσε μοναστήρια. ἀλλὰ καὶ τοῖς ξένοις τοῖς ἐνδημοῦσιν |
δεύτερος Ἀβραὰμ ἐγένετο. ὅθεν καὶ βραχυτάτου χρόνου
πᾶσαν τὴν περιουσίαν αὐτοῦ διέδωκεν, ὡς αὐτὸν δεη-
θῆναι τῆς ἐφημέρου τροφῆς. ἐπέδωκεν οὖν ἑαυτὸν εἰς
τὴν τοῦ σκυτοτόμου τέχνην, πλύνων βύρσας καὶ ῥάπτων,

5 cf. ad Tim. I 5, 1   8 cf. Ev. Ioan. 1, 48   10 cf. ad Ephes. 4, 26   20 cf. Gen. 18, 5 s.

1 διαπορευόμενα BV corr. Ha   2 παιδίας BV corr. v   3 ἀνθρώπους om. B   8 ἀλλ' ἀληθείᾳ Ha   11 ἔχον B   12 ἐκεῖνη B ἐκ[ί]νει c. ras. V   14 πολήσας B   f. τά τε ἐσθήματα ⟨καὶ ἀργυρώματα⟩ πλῆστον B   15 ἀργύρου V   ἴσω B εἰς V (ἐντὸς M)   16 f. διέδωκεν (διένειμε M)   17 ἀλλὰ καὶ om. B   21 αὐτοῦ: αὐτοῦ V   23 ῥάπτον B

θὼν | ἀνεκλίθην πλησίον τοῦ ἁγίου κρανίου καὶ ἐκ τῆς πολλῆς ὀδύνης ἐγενόμην ὡς ἐν ἐκστάσει, καὶ ὁρῶ τὸν σωτῆρα καθηλωμένον ἐν σταυρῷ καὶ ἕνα τῶν ληστῶν σὺν αὐτῷ κρεμάμενον ἐν ἄλλῳ σταυρῷ, καὶ ἄρχομαι κράζειν καὶ λέγειν τὴν φωνὴν τοῦ ληστοῦ· 'μνήσθητί μου, κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου'. καὶ ἀποκριθεὶς ὁ σωτὴρ λέγει τῷ κρεμαμένῳ ληστῇ· Κάτελθε ἐκ τοῦ σταυροῦ καὶ σῶσον ἐκεῖνον τὸν ἀνακείμενον ὥσπερ καὶ σὺ ἐσώθης. καὶ κατελθὼν ὁ ληστὴς ἐκ τοῦ σταυροῦ περιέλαβέν με καὶ κατεφίλησεν καὶ προτείνας τὴν δεξιὰν ἀνέστησέν με λέγων· Ἐλθὲ πρὸς τὸν σωτῆρα. καὶ εὐθέως ἀνέστην καὶ ἔδραμον πρὸς αὐτόν, καὶ ὁρῶ αὐτὸν καταβάντα ἐκ τοῦ σταυροῦ καὶ λέγοντά μοι· Λάβε τὸ ξύλον τοῦτο καὶ φύλαξον· καὶ λαβὼν τὸ αὐτὸ τίμιον ξύλον καὶ βαστάσας εὐθέως ἦλθον εἰς ἐμαυτὸν ἀπὸ τῆς ἐκστάσεως, καὶ ἐξ αὐτῆς τῆς ὥρας οὐκέτι μοι ὀδύνη
8 ἐγένετο, οὐδὲ ὁ τόπος τοῦ πάθους δῆλός ἐστιν. ἐγὼ δὲ ταῦτα ἀκούσας ὑπερεθαύμασα καὶ ἐδόξασα τὸν θεὸν τὸν ἀεὶ ἔλεος ποιοῦντα τοῖς ἐπικαλουμένοις αὐτόν, πολλῷ δὲ πλέον τοῖς γνησίως καὶ εἰλικρινῶς δεομένοις αὐτοῦ.

ἐξ ἐκείνου δὲ περισσότερον οἰκονομήθην εἰς τὸν ἄνδρα (ὄντως γὰρ αὐτὸν εἶχον δοῦλον θεοῦ), καὶ ἀποκαταστήσας αὐτῷ πάντα ὅσα ἐνήνοχα ἔμεινα παρ' αὐτῷ ἐξυπηρετούμενος αὐτῷ καὶ ἀπολαύων τῶν πνευματικῶν αὐτοῦ λόγων· ὄντως γὰρ ἦν ἄμεμπτος ἄνθρωπος, πραότατος, ἐλεήμων, ἔχων καὶ τὸ διακριτικὸν τῆς θείας

5 Luc. 23, 42

1 ἀνεκλίθη BV corr. Ha 12 ἀνέστη BV corr. Ha 14 λαβὸν B 19 πολλῶν B πολλῷ δὲ .... αὐτοῦ om. V 20 αὐτὸν B 21 ᾠκονομήθην v 23 ἐνίνοχα BV corr. v 25 αὐτῶν B πραώτατος BV corr. v διακριτηκὸν BV -κρητι- v corr. Ha

γραφῆς καὶ διαλύων τὰ ἐν αὐτῇ διαπορούμενα εἰ καί τις ἄλλος (ἀλλ' οὐδὲ τῆς ἔξωθεν παιδείας ἦν ἄμοιρος), ἀπαντῶν καὶ ἀποστομίζων ἀνθρώπους ἀπίστους καὶ κακοπίστους, φιλόπτωχος, συμπαθητικός, ἐγγὺς ἔχων τὸ δάκρυον, γέροντας τιμῶν ὡς πατέρας, νεωτέρους ὡς ἀδελφούς, παιδία ὡς τέκνα, ἤπιον καὶ ταπεινὸν ἔχων τὸ ἦθος καὶ τὸν λόγον οὐκ ἐν προσποιήσει ⟨ἀλλ' ἐν πίστει⟩ καὶ ἀληθείᾳ (οὔτε γὰρ ἦν δόλος ἐν αὐτῷ), σωφρονέστατος ὡς αὐτὸν φθάσαι τὴν τελείαν ἀπάθειαν, ἀόργητος, ἀμνησίκακος, μὴ συγχωρῶν τὸν ἥλιον δῦναι ἐπὶ τῷ παροργισμῷ αὐτοῦ, πάντα ἔχων τὰ πάθη νεκρὰ πλὴν τοῦ θυμοῦ ὃν ἐκίνει κατὰ τῶν ἐχθρῶν τῆς πίστεως.
λαβὼν δὲ παρ' ἐμοῦ τὰ χρήματα καὶ τὰ ἄλλα ἃ ἤνεγκα 9
καὶ πωλήσας τά τε ἐσθήματα καὶ ποιήσας τὸ πλεῖστον τοῦ ἀργυρίου τίμια σκεύη τὰ λοιπὰ εἴσω ὀλίγου χρόνου δέδωκεν τοῖς δεομένοις, οὐ μόνον ἐν τῇ ἁγίᾳ πόλει, ἀλλὰ καὶ ἐν ἄλλαις πόλεσι καὶ κώμαις καὶ μοναστηρίοις, μάλιστα τοῖς οὖσιν ἐν Αἰγύπτῳ· πολὺ γὰρ ἦν πτωχὰ τὰ ἐκεῖσε μοναστήρια. ἀλλὰ καὶ τοῖς ξένοις τοῖς ἐνδημοῦσιν | δεύτερος Ἀβραὰμ ἐγένετο. ὅθεν καὶ βραχυτάτου χρόνου πᾶσαν τὴν περιουσίαν αὐτοῦ διέδωκεν, ὡς αὐτὸν δεηθῆναι τῆς ἐφημέρου τροφῆς. ἐπέδωκεν οὖν ἑαυτὸν εἰς τὴν τοῦ σκυτοτόμου τέχνην, πλύνων βύρσας καὶ ῥάπτων,

5 cf. ad Tim. I 5, 1   8 cf. Ev. Ioan. 1, 48   10 cf. ad Ephes. 4, 26   20 cf. Gen. 18, 5 s.

1 διαπορευόμενα BV corr. Ha   2 παιδίας BV corr. v   3 ἀνθρώπους om. B   8 ἀλλ' ἀληθείᾳ Ha   11 ἔχον B   12 ἐκεῖνη B ἐκ[ί]νει c. ras. V   14 πολήσας B   f. τά τε ἐσθήματα ⟨καὶ ἀργυρώματα⟩   πλῆστον B   15 ἀργύρου V   ἴσω B εἰς V (ἐντὸς M)   16 f. διέδωκεν (διένειμε M)   17 ἀλλὰ καὶ om. B   21 αὐτοῦ: αὑτοῦ V   23 ῥάπτον B

εἰϲ πάντα μιμηϲάμενοϲ τὸν θεῖον ἐκεῖνον ἀπόϲτολον τὸν μὴ βουληθέντα δωρεὰν φαγεῖν ἄρτον, καίτοι δυνάμενοϲ ἐξ ἄλλου ἐργοχείρου τὴν τροφὴν πορίϲαϲθαι, ἀλλ' εἰϲ πάντα ἠβουλήθη μιμητὴϲ γενέϲθαι τοῦ εἰρημένου ἀοιδίμου ἀνδρὸϲ ἔν τε κακουχίαιϲ καὶ πόνοιϲ καὶ διωγμοῖϲ καὶ κινδύνοιϲ θαλάϲϲηϲ καὶ ἐπαναϲτάϲεϲιν ἐθνῶν. κἀγὼ δὲ παρεκάλουν αὐτὸν κοινὸν βίον ζῆν ἅμα ἐμοί (ἦν γάρ μοι καὶ περιϲϲεία ἐκ τοῦ ἐμοῦ ἐπιτηδεύματοϲ), ὁ δὲ οὐκ ἠνέϲχετο λέγων· ʽοὐδὲν εἰϲηνέγκαμεν εἰϲ τὸν κόϲμον, οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα'. καὶ πάλιν ἔλεγεν· ʽεἴ τιϲ οὐκ ἐργάζεται, μηδὲ ἐϲθιέτω'. ἐγὼ δὲ παρρηϲιαϲθεὶϲ εἶπον πρὸϲ αὐτόν· Διὰ τί οὖν ὅτε ἠυπόρειϲ οὐκ εἰργάζου οὔτε ἐμοὶ ϲυνεχώρειϲ ἐργάζεϲθαι; ὁ δέ μοι ἀπεκρίθη· Τὸ πρότερον ὃ εἰργαζόμην μεῖζον ἦν καὶ πολυπλάϲιον τοῦ νῦν ἔργου· τὸ μὲν γὰρ νῦν ἕνα ἢ δεύτερον τρέφει, τὸ δὲ πρότερον μυριάδαϲ ἔτρεφεν, οὐ μόνον δὲ τὰ πλήθη ἐκεῖνα, ἀλλὰ καὶ πνευματικὴν τροφὴν τῇ ψυχῇ τῇ ἐμῇ ἐχορήγει.

10 τούτων οὕτωϲ ἐχόντων ἀκούϲαϲ τοῦ ὀνόματοϲ καὶ τῆϲ πολιτείαϲ τοῦ ὁϲίου Πορφυρίου ὁ τὴν ἱερωϲύνην ἔχων τὴν τῶν ἁγίων τόπων Πραΰλιοϲ μεταπεμψάμενοϲ αὐτὸν μετὰ πολλῆϲ ἀνάγκηϲ ἐχειροτόνηϲεν εἰϲ τὴν τοῦ πρεϲβυτέρου τάξιν, οὐ μὴν ἀλλὰ καὶ τὴν παραφυλακὴν τοῦ τιμίου ξύλου τοῦ ϲταυροῦ ἐνεπίϲτευϲεν αὐτῷ. τότε

1 ad Thess. II 3, 8   9 ad Tim. I 6, 7   10 ad Thess. II 3, 10

1 ἀπόϲτολων B   3 ἐξ ἄλου B   πορήϲαϲθαι BV corr. Ha   4 μημητὴϲ B   ἀοιδίμου εἰρημένου V   ἀοιδήμου B   8 περιϲϲία V   9 εἰϲενέγκαμεν BV corr. Ha   16 τρέφη B   18 ἐχορήγη B   21 τὴν om. V

ἔγνωμεν ὅτι ἀπέβη αὐτῷ τὰ ἐν τῇ ἐκστάσει, ὅτε ἑώρακεν τὸν κύριον ἐν τῷ σταυρῷ καὶ τὸν λῃστὴν σὺν αὐτῷ, τὸν δεσπότην δὲ λέγοντα· Λάβε, φύλαξόν μοι τοῦτο τὸ ξύλον. ἦν δὲ ὁ μακάριος Πορφύριος ὅτε τὴν χειροτονίαν ἔλαβεν ὡς ἐτῶν τεσσαράκοντα πέντε. ἀξιωθεὶς οὖν ταύτης τῆς τιμῆς οὐκ ἐνήλλαξεν τὸ πρότερον ἔθος, ἀλλ' ἔμεινεν ἐν τῇ ἀσκητικῇ κακοπαθείᾳ, ἐν νηστείαις καὶ ἀγρυπνίαις. ἡ δὲ τροφὴ ἦν αὐτῷ ἄρτος ῥυπαρὸς καὶ λάχανα, καὶ ταῦτα μετὰ δύσιν ἡλίου, ταῖς δὲ ἄλλαις ἁγίαις ἡμέραις ἕκτην ὥραν ἤσθιεν λαμβάνων καὶ ἐλαίου καὶ τυροῦ καὶ βρεκτῶν ὀσπρίων· μετελάμβανεν δὲ καὶ ἑνὸς ποτηρίου οἴνου κεκερασμένου, καὶ τοῦτο διὰ τὴν κακοπραγίαν τῶν σπλάγχνων. ταύτην τὴν διαγωγὴν καὶ τὸν κανόνα ἔμεινεν φυλάττων τὸν πάντα χρόνον τῆς αὐτοῦ ζωῆς.

μετὰ δὲ τριετῆ χρόνον τοῦ χειροτονηθῆναι αὐτὸν 11 συμβαίνει τὸν ἐπίσκοπον τῆς προλελεγμένης πόλεως | Γάζης ἐξελθεῖν τοῦ βίου· Αἰνείας ἦν οὗτος, ἐλάχιστον χρόνον ἐπισκοπήσας. πρὸ δὲ Αἰνείου Εἰρηνίων ἦν, ὃς καὶ αὐτὸς συμπολίτης γέγονεν τῶν ἀγγελικῶν δυνάμεων· οὗ τοὺς ἐπαίνους ἀδύνατον ἐν παρεκβάσει γραφῆναι, ἀλλ' ἰδικῆς ἐχρῆν πραγματείας εἰς τὸ συντάξαι τὸν βίον τοῦ εἰρημένου ἀοιδίμου Εἰρηνίωνος, ἄλλοις δὲ συγγραφεῦσιν παραχωροῦμεν τοῖς ἀκριβῶς ἐπισταμένοις τὸν ἐκείνου βίον. κοιμηθέντος οὖν τοῦ προλεχθέντος ὁσίου

12 cf. ad Tim. I 5, 23

3 λέγωντα (ο supra ω) B 4 χει[ρ]οτονίαν c. ras. V 9 ἄλλαις del. Eb. at cf. 81, 16 10 ἴσθιεν BV corr. v λαμβάνον B 11 ὠσπρίων B 14 κανῶνα B 18 αἰνίας V corr. v 19 αἰνίου BV corr. v 20 συμπολίτης ex συνπ- V 23 ἀοιδήμου B

ἀνδρὸς cυναθροιcθέντες οἱ τότε ὄντες Χριστιανοί, ὀλίγοι καὶ εὐαρίθμητοι τυγχάνοντες, μετὰ τῶν ἀπὸ τοῦ κλήρου καὶ βουλευcάμενοι ἐπὶ φανερὰς ἡμέρας τίνι ἐγχειρίcαι τὴν ἐπιcκοπὴν οὐδὲν ἤνυον, φιλονεικίας κρατηcάcης ἐν αὐτοῖς, τῶν μὲν βουλομένων τινὰς τοῦ κλήρου, ἄλλων δὲ τῶν λαϊκῶν· κατὰ γὰρ τὸν ἀληθῆ λόγον ἦcάν τινες καὶ ἐν τοῖς λαϊκοῖς βίῳ καὶ cεμνότητι κεκοcμημένοι. πολλῆς οὖν cυγχύcεως γινομένης καὶ μηδενὸς εἰς ἔργον προβαίνοντος τέλος cυνέδοξεν πέντε τῶν κληρικῶν καὶ τοcούτους τῶν λαϊκῶν ἐμφανῶν ἐξελθεῖν πρὸς τὸν μητροπολίτην ἀρχιερέα καὶ αἰτῆcαι αὐτὸν ἐπίcκοπον, ὃν δᾶν
12 ἀποκαλύψῃ αὐτῷ τὸ πνεῦμα τὸ ἅγιον. ἦν δὲ ὁ τὴν ἀρχιερωcύνην τὸ τηνικαῦτα ἐγκεχειριcμένος Ἰωάννης, ἀνὴρ καὶ αὐτὸς δόκιμος καὶ πάcῃ ἀρετῇ κεκοcμημένος. ὡς οὖν παρεγένοντο πρὸς αὐτὸν οἱ Γαζαῖοι, παρεκάλουν αὐτὸν δοῦναι αὐτοῖς ἱερέα δυνατὸν ἔργῳ καὶ λόγῳ ἀντιτάξαcθαι τοῖς εἰδωλολάτραις. ἀκούcας δὲ εὐθέως ἐκήρυξε νηcτείαν, καὶ μετὰ τρεῖς ἡμέρας ἀπεκάλυψεν αὐτῷ ὁ κύριος περὶ τοῦ μακαρίου Πορφυρίου, καὶ γράφει ἐπιcτολὴν τῷ μνημονευθέντι ὁcίῳ Πραϋλίῳ τῷ ἐπιcκόπῳ Ἱεροcολύμων τὸν μακάριον Πορφύριον πέμψαι πρὸς αὐτὸν χάριν ζητήματός τινος τῆς γραφῆς ὀφείλοντος ὑπ᾽ αὐτοῦ ἐπιλυθῆναι· ἦν γὰρ ἱκανὸς ὁ μακάριος πᾶν νομιζόμενον εἶναι δυcχερὲς τῶν τῆς θείας γραφῆς ἐπιλῦcαι, τοῦτο δὲ εἶχεν ἀπὸ χαρίcματος πνεύματος ἁγίου.

4 ἤνοιον BV corr. Ha φιλονικίας B 5 τὸν μὲν B τινὰ coni. Dr τῶν κλήρων, ἄλλους V ἄλλων coniecerat etiam Eb 7 λαϊκοῖς Eb κληρικοῖς BV 11 αἰτίcαι B 12 ἀποκαλύψει B 13 ἀρχιεροcύνην B τινικαῦτα B 18 τρῆς B 19 γράφη B 20 προάυλίῳ B 21 Ἱεροcολύμων: πραροcολύμων V 22 ὀφίλοντος B 25 -λῦcαι .... χαρίcματος om. V in

καὶ πιστεύσας τοῖς γράμμασιν τοῦ μακαρίου Ἰωάννου ὁ θεοφιλὴς Πραΰλιος τοῦτον ἀπέλυσεν, παραγγείλας αὐτῷ περαιτέρω ἑπτὰ ἡμερῶν μὴ χρονίσαι. ἀκούσας δὲ ὁ **13**
μακάριος Πορφύριος τὴν δύναμιν τῶν γραφέντων ὑπὸ τοῦ ὁσιωτάτου Ἰωάννου τὸ μὲν πρῶτον ἐθορυβήθη, μετὰ δὲ ταῦτα εἶπεν· Τὸ θέλημα τοῦ θεοῦ γενηθήτω. καὶ προσκαλεσάμενός με ἐν τῇ ἑσπέρᾳ ἐκείνῃ λέγει μοι· Ἀδελφὲ Μάρκε, πορευθῶμεν καὶ προσκυνήσωμεν τοὺς ἁγίους τόπους καὶ τὸν τίμιον σταυρόν· πολὺς γὰρ χρόνος ἔχει παρελθεῖν ἕως οὗ πάλιν προσκυνήσομεν. ἐγὼ δὲ εἶπον· Διὰ τί | οὕτω λέγεις, πάτερ; ὁ δὲ ἀποκριθεὶς εἶπεν· Τῇ παρελθούσῃ νυκτὶ εἶδον τὸν σωτῆρα λέγοντά μοι· Τὴν παραθήκην ἣν παρεθέμην σοι ἀποκατάστησον. ζεῦξαι γάρ σε θέλω γυναικὶ ταπεινῇ μὲν ἀλλ' εὐτρόπῳ, σὺ δὲ λαμβάνων αὐτὴν κόσμησον, ἵνα ἐπιλάθηται τῆς προτέρας αὐτῆς πτωχείας. εἰ γὰρ καὶ ταπεινὴ τυγχάνει, ἀλλ' οὐκ ἔστιν μου ἀλλοτρία, ἀλλὰ γνησία μου ἀδελφή. σὺ δὲ παραφύλαξαι ἵνα μὴ ὡς ἔχων γυναῖκα καὶ φροντίζων οἴκου ἐξ ἀδικίας ἢ βίας ἢ παρανομίας συναγάγῃς, ἐπεὶ κἀμὲ παρώργισας κἀκείνην λυπεῖς· ἀπαρέσκεται γὰρ καὶ αὕτη τοῖς τοιούτοις. σὺ δὲ μόνον ἔχε προθυμίαν ἀγαθήν, καὶ πάντα σοι χορηγηθήσεται ὅθεν οὐ προσδοκᾷς. ταῦτά μοι ὁ δεσπότης Χριστὸς ἐδήλωσεν ἐν τῇ παρελθούσῃ νυκτί, καὶ φοβοῦμαι μή πως θέλων ἐξι-

6 cf. Matth. 6, 10

ἐπὶ desinit versus, proximum incipit πνς, post ἐπὶ add. λύων ἐκ V[2] 3 χρονῆσαι B 10 προσκυνήσωμεν V 14 ἀλευτρόπω B 15 λαμβάνον B 16 πτωχίας B 18 παραφύλαξε B 19 συναγάγεις V 20 παρόργησας BV παροργίσεις Ha ἐμὲ παροργήσας ἐκείνην Dr 22 χωρηγηθήσεται B

λάcαcθαι τὰc ἐμὰc ἁμαρτίαc ἐξιλάcωμαι καὶ ἄλλων πολλῶν. ἀλλ' ὅμωc οὐκ ἔcτιν ἀντειπεῖν τῷ βουλήματι τοῦ 14 θεοῦ. ταῦτα εἰπὼν ἐπορεύθη, κἀγὼ δὲ cὺν αὐτῷ, καὶ προcκυνήcαντεc τοὺc ἁγίουc τόπουc καὶ τὸν τίμιον cταυρὸν καὶ πολλὰ εὐξάμενοc καὶ δακρύcαc ἔθηκεν ἐν τῷ χρυcῷ γλωccοκόμῳ τὸν τίμιον καὶ ζωοποιὸν cταυρὸν καὶ ἀcφαλιcάμενοc ἐξῆλθεν, καὶ ἀπελθὼν πρὸc τὸν μακάριον Πραΰλιον τὸν ἐπίcκοπον παρέδωκεν αὐτῷ τὰc κλεῖc καὶ λαβὼν εὐχὴν μετὰ παραθέcεωc ἐξῆλθεν. ἐλθόντεc δὲ εἰc τὸ καταγώγιον εὐτρεπιζόμεθα. μιcθωcάμενοι δὲ κτήνη τρία καὶ λαβόντεc τὰ ἐνόδια ἐξήλθομεν· τὰ δὲ ἐνόδια ἦν πάντα τὰ ἐν τῷ οἴκῳ. ἦμεν δὲ ἐν τῇ ὁδῷ πέντε, αὐτόc τε ὁ μακάριοc κἀγὼ καὶ δύο ὀνηλάται καὶ ἄλλοc ὑπηρέτηc νεώτεροc ὀνόματι Βαρωχᾶc, ὅντινα εὗρεν ὁ μακάριοc πρὸ ὀλίγου χρόνου ἐρριμμένον ἐν τῇ πλατείᾳ ὄντα ἐν ἐcχάτῳ κινδύνῳ καὶ λαβὼν cυνήγαγεν, καὶ ἀναλώcαc πολλὰ εἰc αὐτὸν τῇ βοηθείᾳ τοῦ Χριcτοῦ τοῦτον ὑγιῆ ἐποίηcεν. ἐξ ἐκείνου οὖν ἔμεινεν παρ' αὐτῷ ἐξυπηρετούμενοc αὐτῷ ἅμα ἐμοί. τὰ δὲ κατὰ τὸν θεοcεβῆ Βαρωχᾶν τοῦ λόγου προϊόντοc φράcω. ὁδεύcαντεc δὲ τῇ ἡμέρᾳ ἐκείνῃ, τῇ ἑξῆc ἤλθομεν εἰc Καιcάρειαν. διεδόθη δὲ εἰc πᾶcαν τὴν πόλιν ἡ παρουcία [τῆc εἰcόδου] ἡμῶν· ἦν γὰρ ὀνομαcτὸc ὁ μακάριοc διὰ τὸ εἶναι αὐτὸν 15 φιλόπτωχον. ὡρμήcαμεν δὲ εἰc τὸν ἐκεῖ ξενῶνα. ἀκού-

1 ἐξιλάcομαι BV corr. Ha πολῶν B 2 ἀντιπεῖν BV corr. Ha 4 προcκυνήcαντεc legit etiam M 'f. προcκυνήcαc' Ha 5 δακ*ρύcαc B 6 χρυccῶ B τὸν ... cταυρὸν (f. spuria) om. B 11 λαβώντεc B ἐξήλθωμεν V 14 βαρωχὰc BV semper fere, βαροχὰc P, βαρουχᾶc M constanter 15 ἐριμμένον B ἐρριμένον V 17 Χριcτοῦ: θεοῦ V 20 βαραχὰν BV corr. Ha 22 [τῆc εἰ]cόδου c. ras. V 24 ὁρμήcαμεν BV corr. v

σας δὲ ὁ μακάριος Ἰωάννης ὁ ἀρχιεπίσκοπος δρομαῖος παρεγένετο πρὸς ἡμᾶς, καὶ ἀσπασάμενοι ἀλλήλους καὶ εὐξάμενοι μικρὸν ἐκάθισαν. εἶπεν δὲ αὐτῷ ὁ ἀρχιεπίσκοπος· Ἀνάστα, ἀδελφέ, διὰ τὸν κύριον καὶ γεῦσαι μετ' ἐμοῦ, ἵνα ταχέως ἀναστῶμεν εἰς τὴν ἀγρυπνίαν τῆς ἁγίας κυριακῆς. ὀψὲ γὰρ σαββάτῳ εἰσήλθομεν. ὁ δὲ μακάριος Πορφύριος παρε|κάλει αὐτὸν συγχωρῆσαι αὐτῷ τὴν ἑσπέραν διὰ τὸν κόπον τῆς ὁδοῦ· ἔλεγεν δὲ μετὰ τὸν πρῶτον ὕπνον ἀνίστασθαι εἰς τὴν ἀγρυπνίαν. ὡς δὲ οὐκ ἐπείσθη ὁ ἀρχιεπίσκοπος, ἀναστὰς ὁ μακάριος συνεπορεύθη αὐτῷ λαβὼν κἀμέ (τὸν γὰρ ἀδελφὸν Βαρωχᾶν εἰάσαμεν ἐν τῷ ξενῶνι ἐγγὺς τῶν ἱματίων), καὶ προτραπέντες παρ' αὐτοῦ ἐδειπνήσαμεν. πολλὰ δὲ ὁμιλήσαντες πνευματικὰ καὶ μικρὸν ὑπνώσαντες ἀνέστημεν εἰς τὴν ἀγρυπνίαν. τῇ δὲ νυκτὶ ἐκείνῃ μεταπέμπεται ὁ μακάριος Ἰωάννης τοὺς Γαζαίους καὶ λέγει αὐτοῖς· Ἕτοιμοι ἔσεσθε ἐπὶ τὴν ἔξοδον· σήμερον γὰρ τὸν ἱερέα ὑμῶν λαμβάνετε, ἄνδρα ὃν ἀπέδειξεν ὁ κύριος, ἄμεμπτον, θεοφιλῆ, ζέοντα τῇ πίστει. πρωίας δὲ γενομένης ἁρπάσαντες τὸν μακάριον ἐχειροτόνησαν ἐπίσκοπον Γάζης. πολλὰ δὲ ἐδάκρυσεν καὶ οὐκ ἦν κόρος τῶν δακρύων αὐτοῦ· ἔλεγεν γὰρ ἑαυτὸν ἀνάξιον εἶναι τῆς τοιαύτης ἱερωσύνης. μόλις δὲ παρακληθεὶς παρά τε τῶν Γαζαίων καὶ τῶν ἐκεῖ εὑρεθέντων Χριστιανῶν ἡσύχασεν. ποιή-

1 δρομέως BV -μαι- v corr. Us cf. 79, 11 3 ἐκάθησαν BV corr. v 6 εἰσήλθωμεν BV corr. v 7 αὐτῷ: αὐτὸν BV corr. v 10 ἐπίσθη B 11 ἀδελφῶν B 12 ἰάσαμεν B ἐάσαμεν V corr. Ha ξενεῶνι B 14 ὑπνόσαντες B 17 ἔσεσθαι BV corr. Ha 'f. ἐστὲ' Us 18 λαμβάνεται B ἄμεμπτον .... πίστει om. V θεοφιλεῖ B 22 ἑαυτ*ὸν V 23 γαζέων BV et sic saepius, corr. Ha

cαντεc δὲ τὴν ἁγίαν λειτουργίαν τῆc κυριακῆc πάλιν
17 προετράπημεν γεύcαcθαι μετὰ τοῦ ἀρχιεπιcκόπου. ἐπέτρεψεν δὲ ἡμῖν τὴν ταχίcτην ἐξελθεῖν, καὶ ποιήcαντεc ἄλλην μίαν ἡμέραν ἐξήλθομεν. ἐκοιμήθημεν δὲ εἰc Διόcπολιν κἀκεῖθεν νυκτερεύcαντεc ὀψὲ βράδιον εἰcήλθομεν εἰc Γάζαν πολλὰ κοπωθέντεc καὶ θλιβέντεc. ἡ δὲ αἰτία τῆc θλίψεωc αὕτη ἐτύγχανεν. πληcίον Γάζηc κῶμαι τυγχάνουcι παρὰ τὴν ὁδὸν αἵτινεc ὑπάρχουcι τῆc εἰδωλομανίαc. ἐκ cυνθήματοc οὖν οἱ τούτων οἰκήτορεc κατέcτρωcαν πᾶcαν τὴν ὁδὸν ἀκάνθων καὶ cκολόπων, ὥc τιναc μὴ δύναcθαι παρελθεῖν, ἐξέχεαν δὲ βόρβορον καὶ ἐκάπνιζον ἄλλα δυcώδη, ὥcτε ἡμᾶc ἐκ τῆc δυcωδίαc πνίγεcθαι καὶ περὶ τὴν ὅραcιν κινδυνεύειν. μόλιc οὖν διαcωθέντεc περὶ τρίτην ὥραν νυκτερινὴν εἰcήλθομεν εἰc τὴν πόλιν. τοῦτο δὲ τὸ δυcχερὲc ἀπὸ προcβολῆc δαιμονικῆc ὑπήντηcεν τῷ μακαρίῳ. ἀλλ' οὐκ ἐδυcχέρανεν. ἐνόμιcεν γὰρ τὴν ἐνέδραν τοῦ διαβόλου ὅτι ἠθέληcεν
18 ἐκ τῆc αὐτοῦ εἰcόδου ἀποcτρέψαι τὸν δίκαιον. ὡρμήcαμεν δὲ εἰc τὸ ἐπιcκοπεῖον, ὃ ἔκτιcεν ὁ προονομαcθεὶc ἐν ἁγίοιc Εἰρηνίων ὁ ἐπίcκοποc μετὰ καὶ τῆc ἁγίαc ἐκκληcίαc τῆc καλουμένηc Εἰρήνηc. τὸ δὲ ὄνομα λέγουcιν αὐτὴν ἔχειν κατὰ δύο τρόπουc. φαcὶν γὰρ οἱ ἀπὸ Γάζηc ὅτε παρελήφθη ἡ πόλιc ὑπὸ Ἀλεξάνδρου τοῦ Μακεδόνοc κατά τινα cύμβολον ἐκεῖ καταπαῦcαι τὸν πόλεμον, καὶ ἐξ ἐκείνου καλεῖcθαι τὸν τόπον Εἰρήνην. τοῦτον τὸν τόπον εὑρὼν ὁ μακάριοc Εἰρηνίων τιμώμενον ὑπὸ τῶν

7 αὔτη B 9 κατέcτροcαν B 11 f. τινα cl. 41, 7 17 εἰθέληcεν V corr. v 18 ὁρμήcαμεν BV corr. v 19 ἐπιcκοπίον BV corr. v ὃc ἔκτηcεν B προο[ν]ομαcθεὶc c. ras. V 22 φαcὶ V 23 κατελήφθη Eb 24 καταπαύcαcθαι Eb -παῦcαι legit etiam M 26 εἰρηναίων V

ΓαΖαίων ἐν αὐτῷ ἔκτισεν τὴν ἐκκλησίαν. εἴτε οὖν διὰ τὰ προλελεγμένα εἴτε διὰ τὸ ὄνομα τοῦ κτίστου ἔμεινεν οὕτω καλουμένη | ἕως τοῦ νῦν. ἐκεῖ οὖν ὡρμήσαμεν εἰς τὸ παρ' αὐτοῦ κτισθὲν μικρότατον ἐπισκοπεῖον.

τῷ δὲ ἐνιαυτῷ ἐκείνῳ συμβαίνει ἀνομβρίαν γενέσθαι **19**
καὶ ἐπέγραφον πάντες οἱ ἀπὸ τῆς πόλεως τὸ πρᾶγμα τῇ εἰσόδῳ τοῦ μακαρίου, λέγοντες ὅτι Ἐχρηματίσθη ἡμῖν ὑπὸ τοῦ Μάρνα, ὅτι κακοπόδινός ἐστιν ὁ Πορφύριος τῇ πόλει. ὡς δὲ ἐπέμενεν μὴ βρέχων ὁ θεὸς τὸν παρ' αὐτοῖς πρῶτον μῆνα καλούμενον Δῖον, ἔτι δὲ καὶ τὸν δεύτερον Ἀπελλαῖον, πάντες ἐθλίβοντο. συναχθέντες δὲ οἱ τῆς εἰδωλομανίας εἰς τὸ Μαρνεῖον, πολλὰς θυσίας καὶ εὐχὰς ἐποίουν τούτου ἕνεκεν· ἔλεγον γὰρ τὸν Μάρναν κύριον εἶναι τῶν ὄμβρων, τὸν δὲ Μάρναν λέγουσιν εἶναι τὸν Δία. ὡς δὲ ἐπέμενον ἡμέρας ἑπτὰ λέγοντες ὕμνους καὶ ἐξερχόμενοι ἔξω τῆς πόλεως εἰς τόπον καλούμενον προσευχῆς, ὀλιγωρήσαντες ἀνεχώρησαν ἐπὶ τὰ ἴδια ἔργα μηδὲν ἀνύσαντες. τούτων οὕτως γενομένων συναχθέντες οἱ Χριστιανοὶ μετὰ ἀνδρῶν καὶ γυναικῶν καὶ παιδίων τὸν ἀριθμὸν διακόσιοι ὀγδοήκοντα παρεκάλουν τὸν ὅσιον Πορφύριον ἅμα αὐτοῖς ἐξελθεῖν εἰς προσευχὴν καὶ λιτανεῦσαι περὶ τοῦ καταπεμφθῆναι τοὺς ὄμβρους· ἤδη γὰρ λιμὸς ἐγένετο, καὶ πολλῷ γε πλέον ὅτι ἐπέγραφον τῇ εἰσόδῳ τοῦ μακαρίου τὴν ἀνομβρίαν
πεισθεὶς δὲ ὁ ὅσιος καὶ κηρύξας νηστείαν ἐκέλευσεν **20**

3 ὁρμήσαμεν BV corr. v 4 ἐπισκοπίον BV corr. v 6 ἔγραφον B ἔγγραφον V corr. Ha (τῇ τοῦ πορφυρίου εἰσόδῳ τὴν αἰτίαν ἐπέγραφον M) 7 τῆς εἰσόδου BV corr. Ha ἐχριματίσθη V corr. v 8 κακοποδίνος BV 11 ἐπιλλέον BV corr. Henschen ἐπὶ πλέον Ha 12 μαρνῖον B 17 ὀλιγορήσαντες V 18 ἀνοίσαντες BV corr. v 23 ἤδι B 25 πισθεὶς B

πάντας ἀφ᾽ ἑςπέρας ςυναχθῆναι εἰς τὴν ἁγίαν ἐκκληςίαν, ἵνα ἐκεῖ τὴν ἀγρυπνίαν ἐπιτελέςωμεν. ἐποιήςαμεν δὲ δι᾽ ὅλης τῆς νυκτὸς εὐχὰς τριάκοντα καὶ τοςαύτας γονυκλιςίας ἐκτὸς χορῶν καὶ τῶν ἀναγνωςμάτων. πρωίας δὲ γενομένης λαβόντες τὸ ςημεῖον τοῦ τιμίου ςταυροῦ, προηγουμένου ἡμῶν ἐξήλθομεν μετὰ ὕμνων ἐπὶ τὴν ἀρχαίαν ἐκκληςίαν τὴν ἀπὸ δυςμῶν τῆς πόλεως, ἣν λέγουςι κτίζειν τὸν ἁγιώτατον καὶ μακαριώτατον Ἀςκληπᾶν τὸν ἐπίςκοπον τὸν πολλοὺς διωγμοὺς ὑπομείναντα ὑπὲρ τῆς ὀρθοδόξου πίςτεως, οὗτινος ὁ βίος καὶ τὰ ἔργα ἀναγέγραπται ἐν τῷ παραδείςῳ τῆς τρυφῆς. γενόμενοι οὖν ἐν τῇ εἰρημένῃ ἐκκληςίᾳ κἀκεῖ εὐχὰς τοςαύτας ἐποιήςαμεν, κἀκεῖθεν ἐξελθόντες ἐπορεύθημεν ἐπὶ τὸ ἅγιον μαρτύριον τοῦ ἐνδόξου μάρτυρος Τιμοθέου, ἐν ᾧ ἀπόκεινται καὶ ἄλλα λείψανα Μαΐουρος μάρτυρος καὶ Θεῆς ὁμολογητρίας, κἀκεῖ τοςαύτας εὐχὰς καὶ γονυκλιςίας ποιήςαντες ὑπεςτρέψαμεν εἰς τὴν πόλιν, ποιήςαντες ἐν τῇ ὁδῷ τρεῖς εὐχὰς καὶ τρεῖς γονυκλιςίας. γενόμενοι δὲ περὶ τὴν πόλιν εὕραμεν αὐτὴν κεκλειςμένην (ἦν δὲ ὥρα ἐνάτη)· οἱ γὰρ τῆς εἰδωλομανίας βουλόμενοι διαςκεδάςαι τὸν λαὸν τοῦτο πεποιήκαςιν, ἵνα μὴ πληρώςωμεν τὴν λιτάνειον. ὡς δὲ ἐμείναμεν ὥρας δύο πρὸ τῆς πύλης καὶ οὐδεὶς ὁ ἀνοίγων, ὁρῶν ὁ θεὸς τὴν ὑπομονὴν | τοῦ λαοῦ καὶ τὰς οἰμωγὰς καὶ τὰ ἄφατα δάκρυα, μάλιςτα τοῦ ὁςίου ἀνδρός, ςπλαγχνιςθεὶς ὡς ἐπὶ τοῦ μεγάλου

25 Reg. III 18, 45

3 γονυκληςίας B V constanter, corr. Ha 5 [τιμί]ου c. ras. V προηγουμένων Ha 6 ἐξήλθωμεν B V corr. v 7 κτίζειν: κτίςαι Eb 8 ἀςκλιπᾶν V 15 Θεῆς: cf. Mart. Rom. 19 dec. 'Gazae in Palaestina passio sanctarum Meuris et Theae' θεᾶς Ha Θέκλας Eb 19 κεκλιςμένην B 22 λιτάνιον B V λιτανείαν Ha 25 ςπλαγχνηςθῆς B

Ἠλίου τοῦ προφήτου κινεῖ ἄνεμον νότον, καὶ γίνεται συννεφὴς ὁ οὐρανὸς καὶ ἄρχονται ἀστραπαὶ καὶ βρονταὶ γίνεσθαι ἅμα τῷ δῦναι τὸν ἥλιον καὶ καταφέρεται πολὺς ὄμβρος, ὡς νομίζεσθαι σταγόνας μὴ εἶναι, ἀλλὰ χάλαζαν ἀπ᾽ οὐρανοῦ καταφέρεσθαι. ἡμεῖς δὲ ἀπὸ πολλῆς χαρᾶς σχεδὸν οὐκ ᾐσθόμεθα· ἀλλήλους γὰρ ἦμεν περιπτυξάμενοι. τινὲς δὲ τῶν Ἑλλήνων θεασάμενοι ὅσα ἐποίησεν 21 ἡμῖν ὁ θεὸς θαύματα, πιστεύσαντες ἤνοιξαν τὴν πύλην καὶ συνεμίγησαν ἡμῖν βοῶντες· Ὁ Χριστὸς μόνος θεός, αὐτὸς μόνος ἐνίκησεν. συνῆλθον δὲ ἡμῖν εἰς τὴν ἁγίαν ἐκκλησίαν, κἀκεῖθεν ἀπέλυσεν αὐτοὺς ὁ μακάριος μετ᾽ εἰρήνης σφραγίσας τῇ τοῦ Χριστοῦ σφραγῖδι. ἦσαν δὲ τὸν ἀριθμὸν ρκζ, ἄνδρες ὡς οη καὶ γυναῖκες λε καὶ παιδία ιδ, ἐξ ὧν ἦσαν κόραι ε. ἡμεῖς δὲ ποιήσαντες τὴν τελείαν εὐχαριστίαν ἀνεχωρήσαμεν ἕκαστος μετὰ χαρᾶς καὶ εἰρήνης εἰς τὰ ἴδια ἑαυτῶν. τοσοῦτος δὲ ὄμβρος κατηνέχθη τῇ νυκτὶ ἐκείνῃ καὶ ἐν τῇ ἄλλῃ ἡμέρᾳ, ὥστε πάντας φοβηθῆναι ἵνα μὴ συμπτώματα οἴκων γένηται· τὰ ⟨γὰρ⟩ πλεῖστα ἐτύγχανεν ἀπὸ ὠμοπλίνθου. ἐποίησεν δὲ βρέχων ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀπαύστως ἀπὸ τῆς ὀγδόης Αὐδυναίου μέχρι τῆς δεκάτης. ἔστιν δὲ ⟨ὁ⟩ παρ᾽ αὐτοῖς Αὐδυναῖος Ἰανουάριος μὴν κατὰ Ῥωμαίους, πέντε δὲ ἡμέρας προάγουσιν οἱ κατ᾽ αὐτοὺς μῆνες τοὺς Ῥωμαϊκούς. τῇ δὲ ἑνδεκάτῃ ἐπετελέσαμεν τὴν ἡμέραν τῶν Θεοφανίων τοῦ δεσπότου Ἰησοῦ Χριστοῦ μετὰ χαρᾶς

1 ἡλιοῦ BV corr. Ha κεινεῖ B 3 πολλὺς B 4 σταγῶνας BV corr. Ha 9 συνεμήγησαν B 12 σφραγίδη B 13 ρκζ: κζ V καὶ παιδία ιδ in ras. γυναῖκες λε in marg. B 14 ἦσαν: ἦν BV corr. Ha ε: ιε B 18 γὰρ add. Ha 19 πλῆστα B ὁμοπλήνθου BV corr. v 21 λυδυναίου BV corr. Ha 22 λυδυναῖος BV corr. Ha

ὑμνοῦντες καὶ εὐχαριστοῦντες ἐπὶ πᾶσιν οἷς ἐποίησεν ἡμῖν ἡ αὐτοῦ φιλανθρωπία. προσετέθησαν δὲ τῇ τοῦ Χριστοῦ ποίμνῃ ἐν αὐτῷ τῷ ἐνιαυτῷ πρὸς τοῖς ρκζ καὶ ἄλλοι ρε.

οἱ δὲ τῆς εἰδωλομανίας οὐκ ἐπαύοντο ἐνεδρεύοντες τῷ τε μακαρίῳ καὶ τοῖς λοιποῖς Χριστιανοῖς. ὅτε γὰρ ἐδράσσοντο ἄρχοντος Ἕλληνος, ὑπεισήρχοντο αὐτῷ, εἴτε διὰ χρημάτων εἴτε διὰ τῆς ἀθέου αὐτῶν θρησκείας, κακῶσαι τοὺς Χριστιανούς, καὶ ἐκ τούτου οὐχ ἡ τυχοῦσα θλίψις συνέβαινεν τῷ μακαριωτάτῳ. συνεχῶς οὖν νύκτωρ τε καὶ μεθ' ἡμέραν ἐδέετο τοῦ φιλανθρώπου θεοῦ, ἵνα αὐτοὺς ἐπιστρέψῃ ἐκ τῆς πλάνης εἰς τὴν αὐτοῦ 22 ἀλήθειαν. ἐπειδὴ δὲ ἀνωτέρω ἐμνήσθην τοῦ μακαρίου Βαρωχᾶ, τὰ λοιπὰ περὶ αὐτοῦ διηγήσομαι. οὗτος ἔσχεν ζῆλον θεϊκὸν ὡς εἰ καί τις ἄλλος· πολλὰ γὰρ ὑπέμεινεν χαλεπὰ παρὰ τῶν εἰδωλολατρῶν. ποτὲ γὰρ ἀπελθόντος αὐτοῦ ἕνεκα ἐκκλησιαστικοῦ κανόνος εἰς κώμην οὐκ ἄπωθεν τῆς πόλεως, ἦν δὲ ὁ τὸν κανόνα χρεωστῶν εἰδωλολά|τρης, ἀπαιτούμενος δὲ καὶ βουλόμενος διασῦραι εἰς ὑπέρθεσιν, τοῦ θεοσεβοῦς Βαρωχᾶ μὴ ἀνασχομένου, ἐκ τούτου ἐρεσχελίας γενομένης μεταξὺ αὐτῶν προσκαλεῖται ὁ ἀνόσιος γεωργός τινας ὁμοίους αὐτοῦ συγκωμήτας, καὶ ἄρχονται τύπτειν ῥοπάλοις τὸν μακάριον Βαρωχᾶν καὶ βαστάσαντες αὐτὸν ἡμιθανῆ ἔρριψαν ἔξω

4 ἄλλοις ρε B rad. corr. V (τριάκοντα καὶ πέντε M) 5 εἰδωλωμανίας B ἀνεδρεύοντες BV corr. Ha 6 λυποῖς B 8 ante διὰ χρημάτων ras. quinque fere litt. capiens B θρησκίας V 11 ἐδέετω B 12 ἐπιστρέψει B 16 χαλαιπὰ B 17 κανώνος B 18 κανώνα B 19 εἰδωλωλάτρεις B ἀπετούμενος BV corr. v διασύρε BV corr. v 21 γεναμένης V corr. v 22 γεοργός B 23 ῥωπάλοις BV corr. Ha 24 βαροχὰν V εἰμιθανῆ B

τῆς κώμης εἰς τόπον ἔρημον· ἔκειτο δὲ ἐκεῖ ἄφωνος καὶ ἀναίσθητος. τῇ δὲ ἄλλῃ ἡμέρᾳ κατὰ θεοῦ φιλανθρωπίαν παρέρχεται διὰ τοῦ τόπου ἐκείνου Κορνήλιος ὁ διάκονος μετὰ ἄλλων δύο Χριστιανῶν, καὶ εὑρόντες τὸν θεοφιλῆ Βαρωχᾶν καὶ ἐπιγνόντες αὐτόν, βαστάσαντες εἰσήγαγον εἰς τὴν πόλιν. ὡς δὲ ἐθεάσαντο αὐτὸν **28** οἱ τῆς εἰδωλομανίας βασταζόμενον, νομίσαντες εἶναι νεκρόν, ἐτράπησαν εἰς μανίαν διὰ τὸ νομίζειν μύσος εἶναι νεκρὸν εἰσφέρειν εἰς τὴν πόλιν, καὶ ἀπορρήξαντες αὐτὸν ἐκ τῶν ὤμων τῶν βασταζόντων αὐτὸν ἄρχονται τύπτειν τὸν θεοφιλῆ Κορνήλιον τὸν διάκονον καὶ τοὺς δύο Χριστιανούς, καὶ δήσαντες σχοινίῳ τὸν πόδα τοῦ μακαρίου Βαρωχᾶ εἷλκον αὐτόν. ἐν τοσούτῳ δὲ ἀπαγγέλλουσίν τινες τῶν ἀδελφῶν τῷ μακαρίῳ ἐπισκόπῳ, καὶ θορυβηθεὶς προσκαλεῖταί με καὶ ἄλλους τρεῖς ἀδελφοὺς παρ' αὐτῷ εὑρεθέντας καὶ λέγει ἡμῖν· Θαρροῦντες, ἀδελφοί, δράμετε· καιρὸς γάρ ἐστιν μαρτυρίας. ὡς δὲ ἐφθάσαμεν τὸν τόπον ὅπου ἔδησαν τὸν μακάριον, συνέδραμον οἱ ἀπὸ τοῦ πλήθους, καὶ οἳ μὲν ὕβριζον τὸν ἁγιώτατον ἐπίσκοπον, ἄλλοι δὲ ὁρῶντες τὴν ὑπομονὴν αὐτοῦ, πῶς ὑβριζόμενος οὐκ ὠργίζετο, ἀλλὰ τοὐναντίον παρεκάλει ἕκαστον λέγων μὴ οὕτως μιᾶναι καὶ ἐνυβρίσαι σῶμα ὁμοιοπαθές, γίνονται τῆς ἡμῶν μερίδος καὶ τρέπονται κατ' ἀλλήλων ἕως πληγῶν.

3 κορνίλιος BV corr. v 4 εὑρ[ό]ντες c. ras. V 5 θεοφιλεῖ B ἐπιγνῶντες BV corr. Ha 7 εἰδωλωμανίας B νομήσαντες B 9 ἀπορρίξαντες BV corr. Ha 10 βαστα**ζόντων B 11 θεοφιλεῖ B κορνίλιον BV corr. Ha 12 σχυνίω B om. V 15 θορυβιθεὶς B θορυβ[η]θεὶς c. ras. V 17 δράμεται B 20 ὁρόντες B 21 ὀργίζετο BV corr. v 23 μιᾶναι: μὴ ἄναι B γίνωνται V corr. v

ἡμεῖς δὲ θεασάμενοι τὴν πολλὴν σύγχυσιν βαστάσαντες τὸν θεοφιλῆ Βαρωχᾶν ἀνεχωρήσαμεν εἰς τὴν ἁγίαν ἐκκλησίαν. ὡς δὲ ἐθεασάμεθα αὐτὸν ἔτι ἐμπνέοντα, ἐποι-
24 ήσαμεν αὐτῷ θεραπείας. ἦν δὲ ὑπὲρ αὐτοῦ διὰ τῆς ἑσπέρας καὶ τῆς νυκτὸς εὐχὴ ἐκτενής· συνήχθησαν γὰρ πάντες οἱ ἀδελφοί. ὁ δὲ ὅσιος ἐπίσκοπος οὐκ ἐπαύσατο δακρύων καὶ δεόμενος τοῦ θεοῦ περὶ αὐτοῦ· ἠπίστατο γὰρ ὁποῖον εἶχεν ζῆλον θεϊκόν. ὡς δὲ εἶδεν ὁ θεὸς τὰ δάκρυα τοῦ ὁσίου ἱερέως καὶ τὰς δεήσεις τοῦ λαοῦ (δεύτερον γὰρ Φινεὲς εἶχον αὐτὸν κατὰ τῶν εἰδωλολατρῶν), ἐτάχυνεν αὐτῷ τὸ ἔλεος αὐτοῦ, καὶ τῇ νυκτὶ ἐκείνῃ ἀνοίγει τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ ἄρχεται λαλεῖν καὶ αἰτεῖν ποτὸν δοθῆναι αὐτῷ. ἐγὼ δὲ παρακαθήμενος αὐτῷ εὐθέως ἔδραμον ἀπαγγεῖλαι τῷ μακαρίῳ ἐπισκόπῳ· ἐκ τῆς πολλῆς γὰρ χαρᾶς ἐλησμόνησα δοῦναι αὐτῷ ποτόν, παθὼν κἀγὼ τὸ τῆς παιδίσκης τῆς ἐπὶ τοῦ μακαρίου | Πέτρου τοῦ ἀποστόλου, ὅτε ἀκούσασα τῆς φωνῆς τοῦ ἁγίου Πέτρου ἐκ τῆς χαρᾶς οὐκ ἤνοιξεν τὴν θύραν, ἀλλὰ ἐάσασα αὐτὸν πρῶτον ἀνήγγειλεν τοῖς ἐν τῷ οἴκῳ. τοιοῦτόν τι κἀγὼ ὑπέστην. ἀκούσας δὲ ὁ μακάριος ἐπίσκοπος οὐκ ἐκινήθη ὑπὸ τοῦ πάθους, ἀλλ' ἔμεινεν ἀντεχόμενος τῶν προσευχῶν, ἡμεῖς δὲ νοήσαντες τὸ στερρὸν καὶ ἀκλινὲς αὐτοῦ ἐάσαντες αὐτὸν ἀπήλθομεν, ἐγώ τε καὶ ὁ θεοφιλὴς Κορνήλιος ὁ διάκονος· σὺν

10 cf. Num. 25, 11 17 Act. 12, 14

2 θεοφιλεῖ B 8 ἴδεν B 11 εἰδωλωλατρῶν B 14 ἔδραμων B ἀπα[γγ]εῖλαι c. ras. V 15 ἐλισμόνησα BV corr. v 16 ποτ$\overset{ο}{ῶ}$ν B 17 ἀκούσας[α τ]ῆς c. ras. V 19 ηνυξεν B ἀλλ' V 20 ὑπέστιν B 21 ἐνικήθη BV cf. 7, 11 23 τὸ στερὸν ... ἐάσαντες bis B ἀπήλθωμεν BV corr. v 24 θεοφιλεῖς B κορνίλιος V corr. v

ἐμοὶ γὰρ παρεκάθητο τῷ μακαρίῳ Βαρωχᾷ. ὡς δὲ ἐπλήρωσεν τὰς εὐχὰς καὶ πᾶσαν τὴν ἀκολουθίαν ὁ ὁσιώτατος ἐπίσκοπος, καὶ αὐτὸς ἅμα ἡμῖν καθίσας ἐπηρώτα τὸν θεοσεβῆ Βαρωχᾶν πῶς ἐξ ἀρχῆς ἔπαθεν, αὐτὸς δὲ πάντα 4
ἡμῖν διηγήσατο. ἐν δὲ τῷ ἡμᾶς βουλεύεσθαι τί χρὴ 25
ποιεῖν γίνεται ὄρθρος καὶ ἰδοὺ ὁ δημεκδικῶν μετὰ τῶν εἰρηναρχῶν καὶ τῶν δύο πρωτευόντων Τιμοθέου καὶ Ἐπιφανίου καὶ ἄλλων πολλῶν ἐλθόντες ἄρχονται καταβοᾶν καὶ θορυβεῖν λέγοντες· Διὰ τί εἰσηγάγετε νεκρὸν ἐν τῇ πόλει τῶν νόμων τῶν πατρίων τοῦτο ἀπαγορευόντων; ἐν ταὐτῷ δὲ καὶ ὕβριζον τὸν μακάριον ἐπίσκοπον. ἡμεῖς δὲ ἀκούσαντες τοῦ θορύβου ἐξήλθομεν, καὶ ὡς ἐθεάσαντο ἡμᾶς ἄρχονται τύπτειν ἐμὲ καὶ τὸν θεοφιλῆ Κορνήλιον τὸν διάκονον. ὡς δὲ διεμαρτυράμεθα τοὺς δημοσιεύοντας, ὁ ὁσιώτατος ἐπίσκοπος ἐπεστόμιζεν ἡμᾶς, παρακαλῶν ἕκαστον καὶ νουθετῶν μὴ οὕτως ἀλογίστως ὀργίζεσθαι. οἱ δὲ ἄθεοι ὅσον παρεκαλοῦντο τοσοῦτον ἐμαίνοντο καὶ ὕβριζον τὸν ὅσιον ἄνδρα. τοῦ γοῦν θορύβου ἐπιμένοντος ἐνδυναμοῦται ὁ θεοφιλὴς Βαρωχᾶς καὶ ἐμπιπλᾶται θεϊκοῦ ζήλου καὶ ἀνίσταται καὶ ἁρπάζει ξύλον καὶ ἄρχεται τύπτειν τοὺς παρατυγχάνοντας, καὶ ἐπιπίπτει πᾶσιν φόβος καὶ ἄρχονται πίπτειν κατ' ἀλλήλων φεύγοντες, καὶ ἐπέμενεν καταδιώκων αὐτοὺς ἕως τοῦ

2 ἀκολουθεῖαν B ὁσιότατος V corr. v 3 ἐπιρῶτα BV corr. v 5 τὸ BV corr. v βουλεύεσθε V corr. v 6 'ὁ δημεκδικῶν: ὁ ἔκδικος τῆς πόλεως, defensor civitatis. v. Philippium in mus. rhen. VIII 508' Ha 7 προτευόντων BV corr. v 9 εἰσηγάγεται BV corr. v 10 τοῦτο: τὸ BV corr. v 12 ἐξήλθωμεν BV corr. v 13 τ[ύ]πτειν c. ras. V θεοφιλεῖ B 14 κορνίλιον V corr. v 15 ἐπιστόμιζεν V corr. v 17 ὀργίζεσθε V παρακαλοῦντο B 19 θεοφιλεῖς B 20 ζήλο*υ V 22 πᾶσι V

τότε Μαρνείου καὶ ἐπαναλύει μετὰ νίκης μεγάλης ὁ νέος ἡμῶν Σαμψών, καταστρώσας καὶ αὐτὸς χιλίους ἀλλοφύλους. ἐξ ἐκείνου οὖν οἱ τῆς εἰδωλομανίας ἐφοβοῦντο αὐτόν, μὴ δυνάμενοι τοῦ ὀνόματος αὐτοῦ ἀκοῦσαι. μετὰ δὲ χρόνον ὀλίγον ἠξιώθημεν τῆς χειροτονίας τῶν διακόνων ἐγώ τε καὶ ὁ θεοφιλὴς Βαρωχᾶς, ἐγὼ μὲν πολὺ ἀνάξιος τυγχάνων, ἐκεῖνος δὲ ἀξίως καὶ δικαίως

26 τοῦτο τὸ δῶρον λαβών. ὁρῶν δὲ ὁ ἐν ἁγίοις [πατὴρ ἡμῶν] Πορφύριος τὰ ἀθέμιτα καθ᾽ ἑκάστην γινόμενα ὑπὸ τῶν εἰδωλολατρῶν βουλεύεται ἀποστεῖλαί με εἰς τὸ Βυζάντιον αἰτῆσαι τοὺς βασιλεῖς περιαιρεθῆναι τοὺς ναοὺς τῶν εἰδώλων· ἔτι γὰρ ἐχρη|μάτιζον ἐν Γάζῃ, μάλιστα τὸ καλούμενον Μαρνεῖον. καὶ ποιήσας γράμματα πρὸς τὸν ἁγιώτατον καὶ ὁσιώτατον [ἐπίσκοπον] Ἰωάννην τὸ τηνικαῦτα ἐπίσκοπον Κωνσταντινουπόλεως, οὗ κλέος καὶ ἔπαινος παρὰ πάντων μνημονεύεται, ἐπλόισέν με καὶ δι᾽ ἡμερῶν κ̄ ἐφθάσαμεν, καὶ ἀποδοὺς τὰς ἐπιστολὰς τῷ μακαρίῳ Ἰωάννῃ ἐδίδαξα αὐτὸν ἐκ στόματος πάντα. εὐθέως δὲ ἀκούσας ἐμήνυσεν πρὸς Εὐτρόπιον τὸν κουβικουλάριον τὰ μεγάλα τότε ἰσχύοντα παρὰ τῷ βασιλεῖ Ἀρκαδίῳ, καὶ ἐπαναγνοὺς αὐτῷ τὰς ἐπιστολὰς τοῦ μακαρίου ἐπισκόπου καὶ αἰτήσας αὐτῷ συνδραμεῖν τῷ γράμματι λαβὼν συνταγὰς παρ᾽ αὐτοῦ ἐξῆλθεν καὶ λέγει μοι· Σχόλασόν μοι, τέκνον· ἐλπίζω γὰρ εἰς τὸν δεσπό-

2 cf. Iud. 15, 14 s.

2 σαμψῶ B ἀλοφύλους B 3 εἰδωλωμανίας B 6 θεοφιλεῖς B 7 πολλοὶ B ἄξιος B 8 τὸ om. B πατὴρ ἡμῶν om. B 9 ἀθέμητα B 10 εἰδωλωλατρῶν B μοι B 14 Ἰωάννην ... ἐπίσκοπον om. V 15 τινικαῦτα B ἐπισκοπῶν B 16 ἐπλόησεν BV corr. v 19 δὲ om. B 20 ἰχνεύοντα BV corr. Ha 22 αἰτεῖσας B τὸ B

την Χριστόν, ὅτι συνήθως ἔχει τὸ ἔλεος αὐτοῦ ποιῆσαι. ἐγὼ δὲ οὐκ ἐπαυόμην καθ' ἑκάστην αὐτὸν ὑπο- 27
μιμνήσκων, κἀκεῖνος ἔπεμπεν καὶ ἠνώχλει Εὐτροπίῳ. μετὰ δὲ ἡμέρας ἑπτὰ ἐκφωνεῖται θεῖον γράμμα ὥστε κλεισθῆναι τὰ εἰδωλεῖα τῆς Γαζαίων πόλεως καὶ μηκέτι χρηματίζειν, καὶ ἐγχειρίζεται ταύτην τὴν πρόσταξιν Ἱλάριός τις σουβαδιουβᾶ τοῦ μαγίστρου ἄνθρωπος. ἐγὼ δὲ μεθ' ἡμέρας τρεῖς ἐξεπόρισα ἐκ τοῦ Βυζαντίου καὶ φθάνω δι' ἡμερῶν δέκα τὴν Γαζαίων πόλιν, προλαβὼν τὸν Ἱλάριον ἡμέρας ἑπτά. εὗρον δὲ τὸν ὁσιώτατον Πορφύριον ἀρρωστοῦντα. ὡς δὲ ἐπέδωκα αὐτῷ τὰ ἀντίγραφα τοῦ μακαριωτάτου Ἰωάννου τοῦ ἐπισκόπου Κωνσταντινουπόλεως καὶ ἀνέγνω αὐτά, περιχαρὴς γενόμενος ἐρρώσθη ἀφεθεὶς τοῦ πυρετοῦ· ἔλεγεν δὲ ἐκ τῆς πολλῆς θλίψεως τῶν εἰδωλολατρῶν αὐτὸν ἐσχηκέναι τὴν ἀρρωστίαν. μετὰ δὲ ἑπτὰ ἡμέρας καταλαμβάνει ὁ εἰρημένος Ἱλάριος, ἔχων δύο κομενταρησίους τῆς ὑπατικῆς καὶ βοηθοὺς πολλοὺς ἔκ τε Ἀζώτου καὶ Ἀσκάλωνος καὶ πᾶσαν δημοσίαν ὄψιν. εὐθέως δὲ συνέσχεν τοὺς τρεῖς πρωτεύοντας καὶ λαβὼν παρ' αὐτῶν ἱκανοδοσίας ἐνεφάνισεν αὐτοῖς τὸ θεῖον γράμμα τὸ παρακελευόμενον κλεισθῆναι τὰ εἰδωλεῖα Γάζης τῆς πόλεως κινδύνῳ τῆς κεφαλῆς τῶν πρώτων τῆς αὐτῆς πόλεως, καὶ καταστρέψας πάντα τὰ ἐν αὐτοῖς εἴδωλα ἔκλεισεν αὐτά· τὸ δὲ ἱερὸν τοῦ Μάρνα εἴασεν

2 αὐτοῦ BV 3 ἠνόχλει BV corr. v 5 εἴδωλα BV corr. Ha 7 σουβαδιουβᾶ BVM σουβαδίουβα Ha τοῦ μαγιστριανοῦ (del. ἄνθρωπος) Ha cl. Gothofr. in Theod. cod. VI 27, 3. f. post ἄνθρωπος excidit attributum, cf. 12, 14. 32, 16. 44, 18 μαγίστρου legit etiam M 13 γενάμενος V corr. v 15 εἰδωλωλατρῶν B 19 προτεύοντας V corr. v 20 ἐνεφάνησεν B 21 εἰδωλία BV corr. Ha

λεληθότως χρηματίζειν, λαβὼν ὑπὲρ τούτου πάμπολλα χρήματα. πάλιν δὲ ἐποίουν οἱ τῆς εἰδωλομανίας τὰ ἀθέμιτα ὑπὸ τῆς συνηθείας.

28 συμβαίνει δὲ ἄλλο θαυμαστὸν γενέσθαι προσκαλούμενον πολλοὺς εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· ὁ θεὸς γὰρ ὡς εὔσπλαγχνος οἶδεν διὰ προφάσεων ἐπιστρέφειν τὸ γένος τῶν ἀνθρώπων εἰς τὸ νοητὸν αὐτοῦ φῶς. τὸ δὲ συμβὰν πρᾶγμα ἐν τούτοις ἦν. γυνή τις τῶν ἐμφανῶν τῆς | πόλεως ὀνόματι Αἰλίας μέλλουσα τίκτειν κινδύνῳ μεγάλῳ περιέπεσεν, ἡ δὲ αἰτία τοῦ κινδύνου αὕτη ὑπῆρχεν. τὸ βρέφος αὐτῆς οὐκέτι κατὰ φύσιν ἐξῄει, ἀλλ' ἐξετράπη εἰς τὸ παρὰ φύσιν, καὶ χαλάσαν τὴν μίαν χεῖρα οὐκ ἠδύνατο τὸ ὑπόλοιπον σῶμα κατενεχθῆναι· ἦν γὰρ πλάγιον ἐν τῇ γαστρὶ καὶ οὐκ ἴσχυον αἱ μαῖαι εἰς τὸ κατὰ φύσιν αὐτὸ μεταγαγεῖν. ἦν δὲ ἡ ὀδύνη ἄφατος προσγινομένη τῇ γυναικί, τῶν κατὰ ὥραν ὠδίνων τὸ βρέφος ὠθουσῶν, πλείων δὲ ἡ ἐπίδοσις τῶν πόνων ἐγίνετο τῆς δευτέρας ἡμέρας διαδεξαμένης τὴν πρώτην, ὁμοίως καὶ τῆς τρίτης ὀδυνηροτέρας οὔσης τῆς δευτέρας· ἐπετάθησαν δὲ οἱ πόνοι ἕως ἡμερῶν ἑπτά, τοῦ κακοῦ προσθήκην ἀεὶ λαμβάνοντος. ἀλλὰ καὶ οἱ ἰατροὶ ἠβουλήθησαν αὐτὴν ἐμβρυοτομῆσαι, καὶ θεασάμενοι τὰς δυνάμεις αὐτῆς διαπεσούσας ἀπηγόρευσαν αὐτῆς. οἱ ταύτης οὖν γονεῖς καὶ ὁ ἀνὴρ Ἥρως ὄντες

1 λεληθότος B 2 εἰδωλωμανίας B 3 ἀθέμητα BV corr. Ha 4 ἄλλον rad. corr. V 9 αἰλιὰς M, an Αἰλία 12 ἐξίει BV corr. v ἐξετράπει B 13 τὸ ὑπόλοιπον in marg. add. V ὑπόλυπον B 15 μέαι B 16 προσγινομένη ex -γιγν. V 17 ὀδυνῶν BV ὀθουσῶν BV corr. v πλέον BV corr. Ha 19 f. ὁμοίως ⟨δὲ⟩ καὶ τῆς: τῆς sscr. V ὀδυνοτέρας V 23 αὐτ[ῆ]ς c. ras. V

δεισιδαίμονες ἐποίουν καθ᾽ ἑκάστην θυσίαν ὑπὲρ αὐτῆς, ἔφερον δὲ καὶ ἐπαοιδοὺς καὶ μάντεις, νομίζοντες ἐκ τούτων αὐτὴν ὠφελῆσαι, καὶ οὐδὲν ἤνυον. ὑπῆρχεν δὲ **29** αὐτῇ τροφὸς πιστή, ἥτις ὑπεραλγοῦσα δεήσεις ἐποιεῖτο ἐν τοῖς εὐκτηρίοις οἴκοις ὑπὲρ αὐτῆς. ἐν μιᾷ οὖν ἡμέρᾳ αὐτῆς εὐχομένης ἐν τῇ ἐκκλησίᾳ μετὰ δακρύων, εἰσῆλθεν ὁ ἐν ἁγίοις Πορφύριος περὶ τὴν ἐνάτην ὥραν, κἀγὼ δὲ ἅμα αὐτῷ, καὶ ὁρᾷ τὴν γραῦν κατώδυνον δεομένην τοῦ θεοῦ μετὰ δακρύων, καὶ στὰς ἐπηρώτα αὐτὴν τὴν αἰτίαν. ἡ δὲ θεασαμένη αὐτὸν προσέπεσεν τοῖς ποσὶν αὐτοῦ παρακαλοῦσα αὐτὸν δεηθῆναι τῷ Χριστῷ ὑπὲρ αὐτῆς. ὡς δὲ ἔγνω ὁ ἅγιος τῆς γυναικὸς τὴν αἰτίαν, καὶ αὐτὸς ἐδάκρυσεν· ἦν γὰρ καθ᾽ ὑπερβολὴν εὔσπλαγχνος. λέγει δὲ τῇ τροφῷ· Ἀκούω περὶ τοῦ οἴκου ἐκείνου ὅτι κατείδωλος τυγχάνει καὶ δυσχερῶς δύναται σωθῆναι· ἀλλ᾽ ὅμως τῷ θεῷ πάντα δυνατά, καὶ γὰρ διὰ προφάσεως σῴζει τοὺς μέλλοντας ἀπόλλυσθαι. ἄπελθε οὖν καὶ συνάγαγε πάντας τοὺς συγγενεῖς καὶ γονεῖς καὶ τὸν ἄνδρα καὶ εἰπὲ αὐτοῖς· Ἐπειδή ἐστιν ἐνταῦθα ἰατρὸς ἄριστος δυνάμενος αὐτὴν θεραπεῦσαι, ἐὰν ποιήσῃ αὐτὴν διαφυγεῖν τὸν τοιοῦτον κίνδυνον, τί χαρίζεσθε αὐτῷ; πάντως δὲ ἔχουσι πολλά σοι συντάξασθαι. εἰπὲ δὲ αὐτοῖς καὶ τοῦτο· Ἐὰν αὐτὴν θεραπεύσῃ, δότε μοι λόγον πρὸς τοῦτο ὅτι οὐ παραβαίνετε αὐτὸν οὔτε πρὸς ἄλλον ἀπέρχεσθε. ποίησον πάντας αὐτοὺς ἀνατεῖναι τὰς χεῖρας εἰς τὸν οὐρανὸν καὶ δοῦναι λόγον ὅτι ποιοῦσιν πάντα

1 δισιδαίμονες BV corr. v 3 ἤνοιον BV corr. Ha 8 ὁρ[ᾷ] c. ras. V κατόδυνον BV corr. Ha 11 τοῦ Χριστοῦ Ha 15 δύνανται B 20 ποιήσει B 21 χαρίζεσθαι BV corr. v 24 παραβαίνεται B οὐδὲ Ha ἀπέρχεσθαι BV corr. Ha 25 f. ⟨καὶ⟩ ποίησον 26 verba inde a λόγον usque ad εὐοδω-

ἃ ἐπηγγείλαντο. καὶ ὅταν ταῦτα ποιήcωcιν, εἰπὲ τῇ λοχευομένῃ γυναικὶ ἐπὶ πάντων· Ἰηcοῦc Χριcτόc, ὁ υἱὸc τοῦ θεοῦ τοῦ ζῶντοc, ἰᾶταί cε· εἰc αὐτὸν πίcτευε καὶ
30 ζήcῃ. ἀκούcαcα δὲ ἡ γραῦc τὸν λόγον τοῦ μακα|ρίου ἐπιcκόπου καὶ λαβοῦcα παρ' αὐτοῦ παράθεcιν ἔδραμεν ἐπὶ τὸν οἶκον, καὶ εὑροῦcα πάνταc κλαίονταc καὶ τὴν γυναῖκα ἐν ἐcχάτῳ κινδύνῳ παρεκάλει τοὺc γονεῖc αὐτῆc καὶ τὸν ἄνδρα μὴ ἀθυμῆcαι· ἔλεγεν δὲ ὅτι Ἰατρὸc ἄριcτοc ἀπέcτειλέν με πρὸc ὑμᾶc ἵνα παράcχητε ἐμοὶ λόγον, ὅτι ταύτηc θεραπευομένηc οὐκ ἀρνεῖcθε αὐτόν. ἀκούcαντεc δὲ οἱ γονεῖc καὶ ὁ ἀνὴρ εἶπον· Ἐὰν βουληθῇ πᾶcαν ἡμῶν τὴν οὐcίαν λαβεῖν, οὐκ ὀκνήcομεν, μόνον ἴδωμεν τὴν θυγατέρα ἡμῶν ζῶcαν. ἡ δὲ τροφὸc εἶπεν· Ἀνατείνατε τὰc χεῖραc ὑμῶν εἰc τὸν οὐρανὸν καὶ δότε μοι τοιοῦτον λόγον ὅτι οὐκ ἀρνεῖcθε τὸν ἰατρόν. οἳ δὲ προθύμωc καὶ μετὰ δακρύων ἀνέτειναν τὰc χεῖραc λέγοντεc ὅτι Καὶ πάντα τὰ ἡμῶν αὐτῷ πάντα τὸν χρόνον τῆc ζωῆc ἡμῶν· ποίαν γὰρ παραμυθίαν μέλλομεν ἔχειν ταύτηc τελευτώcηc; ἦν γὰρ αὐτοῖc μονογενὴc καὶ ἀcτεία τοὺc τρόπουc εἴπερ ἄλλη γυνή. ἀκούcαcα δὲ ἡ τροφὸc μεγάλῃ τῇ φωνῇ ἐπὶ πάντων εἶπεν· Λέγει ὁ μέγαc ἱερεὺc Πορφύριοc· Ἰηcοῦc Χριcτόc, ὁ υἱὸc τοῦ θεοῦ τοῦ ζῶντοc, ἰᾶταί cε· εἰc αὐτὸν πίcτευcον καὶ ζήcῃ. εὐθέωc δὲ ἡ γυνὴ ὀλολύ-
31 ξαcα μέγα κατήγαγεν τὸ βρέφοc ζῶν. πάντεc δὲ οἱ ἐκεῖcε εὑρεθέντεc ἐκπλαγέντεc ἔκραξαν· Μέγαc ὁ θεὸc τῶν Χριcτιανῶν, μέγαc ὁ ἱερεὺc Πορφύριοc. τῇ δὲ

θῆναι 30, 8 desunt in B 7 αὐτῆc ex αὐτοὺc V 9 [ὑ]μᾶc c. ras. V παράcχηται V corr. v 10 et 15 ἀρνῆcθαι V corr. v 13 εἴδομεν V corr. v 17 αὐτοῦ Ha 19 μέλλωμεν V corr. v 20 ἀcτία V corr. Ha ἤπερ V corr. Ha

ἑξῆς οἱ γονεῖς τῆς γυναικὸς καὶ ὁ ἀνὴρ καὶ πάντες οἱ συγγενεῖς καὶ οἱ γνήσιοι πορευθέντες πρὸς τὸν μακάριον Πορφύριον προσέπεσαν τοῖς ποσὶν αὐτοῦ αἰτούμενοι τὴν ἐν Χριστῷ σφραγῖδα. ὁ δὲ μακάριος σφραγίσας αὐτοὺς καὶ ποιήσας κατηχουμένους ἀπέλυσεν ἐν εἰρήνῃ, παραγγείλας αὐτοῖς σχολάζειν τῇ ἁγίᾳ ἐκκλησίᾳ, καὶ μετ' ὀλίγον χρόνον κατηχήσας αὐτοὺς ἐβάπτισεν σὺν τῇ γυναικὶ καὶ τὸ βρέφος· ἐκάλεσαν δὲ τὸ ὄνομα αὐτοῦ Πορφύριον. ἦσαν δὲ οἱ φωτισθέντες διὰ τὴν πρόφασιν τῆς γυναικὸς τὸν ἀριθμὸν ἑξήκοντα τέσσαρες.

ὅσον δὲ ἔβλεπον οἱ τῆς εἰδωλομανίας πληθυνομένους 32
τοὺς Χριστιανούς, ἠγριαίνοντο καὶ οὐ συνεχώρουν αὐτοῖς μετελθεῖν πολιτικὸν ὀφφίκιον, ἀλλ' ὡς κακοῖς οἰκέταις ἐχρῶντο αὐτοῖς. ὁρῶν δὲ πάλιν ὁ μακάριος Πορφύριος τὴν πολλὴν ἀδικίαν τῶν Χριστιανῶν καὶ μὴ φέρων, βλέπων δὲ αὐτοὺς ἐπηρεαζομένους, ἐξέρχεται ἐπὶ Καισάρειαν πρὸς τὸν μακάριον Ἰωάννην τὸν ἀρχιεπίσκοπον καὶ παρακαλεῖ αὐτὸν μετὰ δακρύων ἄνεσιν παρασχεῖν αὐτῷ· μηκέτι γὰρ δύνασθαι φέρειν ἔλεγεν τὰ ἄτοπα τὰ γινόμενα ὑπὸ τῶν Γαζαίων. ὁ δὲ μακάριος Ἰωάννης ἀκούσας παρεκάλει αὐτὸν μακροθυμῆσαι καὶ ἀντέχεσθαι τῆς ἐπισκοπῆς. καὶ ἀποκριθεὶς ὁ ὁσιώτατος Πορφύριος εἶπεν αὐτῷ· Μαρτυροῦμαί σε ἐνώπιον τοῦ ἀοράτου 33
θεοῦ | καὶ τῆς ἐλπίδος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ κυρίου πάσης κτίσεως καὶ τοῦ προσκυνητοῦ καὶ ζωοποιοῦ ἁγίου πνεύματος μὴ παριδεῖν τὴν αἴτησίν μου, ἵνα μὴ ἐκζητηθῇ παρ' ἡμῶν ἀπώλεια ψυχῶν ἀναριθμήτων. ἀλλ' αἰτῶ σε, πάτερ, συμπλεῦσαί μοι ἐπὶ τὴν βασιλίδα πόλιν, ἵνα δεηθῶμεν τῶν βασιλέων τοῦ οὐρανίου βασιλέως ἐπι-

8 f. καὶ τῷ βρέφει ἐκάλεσεν V 14 [πάλι]ν c. ras. V 15 f. μὴ φέρων βλέπειν αὐτοὺς cl. 51, 3 s. 23 f. μαρτύρομαί σε

νεύοντος καταστρέψαι τοὺς ναοὺς τῶν εἰδώλων. ἀποκριθεὶς δὲ ὁ μακάριος Ἰωάννης εἶπεν αὐτῷ· Τέκνον, ἡ μὲν αἴτησις δικαία, ὁ δὲ καιρὸς οὐκ ἔστιν ἐπιτήδειος· ἡ γὰρ χειμέριος τροπὴ λοιπὸν ἐπιλαμβάνεται. ἀπεκρίθη δὲ ὁ μακάριος Πορφύριος· Ἐὰν θέλῃ ἡμᾶς ὁ θεὸς εἶναι καὶ τὰ πλήθη Γάζης ἐπιστρέψαι, καὶ ἐν χειμῶνι δυνατός ἐστιν σῷσαι. σὺ δέ, πάτερ, θαρρῶν τῇ εὐσπλαγχνίᾳ αὐτοῦ θέλησον, καὶ ἔχομεν εὐοδωθῆναι. λέγει αὐτῷ ὁ μακάριος Ἰωάννης· Τὸ θέλημα τοῦ Χριστοῦ γενηθήτω.

34 ὡς δὲ ἔλαβεν συνταγὰς ὁ μακάριος Πορφύριος, γράφει μοι τὴν ταχίστην καταλαβεῖν τὴν Καισάρειαν καὶ ἀγαγεῖν μεθ' ἑαυτοῦ τρεῖς βίβλους καὶ τεσσαράκοντα τρία νομίσματα, ἅπερ ἔτυχεν περισσεῦσαι ἐκ τῆς προσόδου τῆς ἁγίας ἐκκλησίας. ἐγὼ δὲ δεξάμενος τὰς ἐπιστολὰς καὶ λαβὼν τὰς βίβλους καὶ τὰ νομίσματα εὐθέως ἐξῆλθον καὶ καταλαβὼν τὴν Καισάρειαν εὗρον τοὺς ὁσιωτάτους ἐπισκόπους εὐτρεπιζομένους ἐπὶ τὸν πλοῦν, καὶ μετὰ δύο ἡμέρας ἀναχθέντες ἐπλεύσαμεν ἡμέρᾳ ὀγδόῃ καὶ εἰκάδι Περιτίου καὶ τῇ εὐσπλαγχνίᾳ τοῦ Χριστοῦ εὐπλοήσαντες δι' ἡμερῶν δέκα κατήχθημεν εἰς Ῥόδον τὴν νῆσον.

ἦν δὲ τότε ἐν τῇ νήσῳ εἰς τὰ ἀπόστροφα αὐτῆς μονάζων τις ὀνόματι Προκόπιος, ὃς νῦν μετ' ἀγγέλων ἐστὶν συναρίθμιος· ἐκοιμήθη γὰρ ἀπὸ ἐτῶν πέντε, ζήσας βίον ἄμεμπτον ἔν τε νηστείαις καὶ ἀγρυπνίαις καὶ τῇ ἄκρᾳ ἀκτημοσύνῃ, ἔσχεν δὲ καὶ προφητικὸν χάρισμα καὶ

3 ἐπιτήδιος V corr. Ha 5 θέλ[η] c. ras. V 8 εὐοδοθῆναι V corr. v 9 τ[ὸ] c. ras. V 13 προσώδου B 19 ἡκάδι B Περιτίου: τρίτη BV corr. Henschen 22 ἦν τε V 26 ἀκτιμοσύνη V corr. v προφητικῶν B προφητῶν V

τὴν κατὰ δαιμόνων ἀπέλαςιν. καταχθέντες δὲ ἡμεῖς ἐν τῇ Ῥόδῳ, ὡς εἴρηται, καὶ ἀκούςαντες περὶ τῆς πολιτείας τοῦ ἁγίου ἀνδρὸς ἀναγκαῖον ἐνομίςαμεν μὴ παρόδῳ χρήςαςθαι, ἀλλ᾿ ἀπολαῦςαι τῆς ἀγγελικῆς αὐτοῦ ςυνουςίας, καὶ ἐρωτήςαντες ποῦ τὴν καταμονὴν εἶχεν ἐπορεύθημεν πρὸς αὐτὸν παραπλεύςαντες ἐν ἀκατίῳ, καὶ φθάςαντες ἐκρούςαμεν τὴν θύραν. εὐθέως δὲ ἐξελθὼν δι᾿ ἑαυτοῦ ἤνοιξεν ἡμῖν, καίτοι ἔχων ἄλλον παρ᾿ αὐτῷ μαθητήν. ὡς δὲ ἐθεάςατο τοὺς ὁςιωτάτους ἐπιςκόπους, πεςὼν ἐπὶ πρόςωπον προςεκύνηςεν αὐτούς, εἶτα ἀναςτὰς κἀμὲ κατεφίληςεν καὶ τὸν θεοςεβῆ Εὐςέβιον τὸν διάκονον, ὃν μεθ᾿ ἑαυτοῦ ἦγεν ὁ ὅςιος Ἰωάννης ὁ ἀρχιεπίςκοπος, καὶ εἰςαγαγὼν ἡμᾶς εἰς τὸ εὐκτήριον ὑπεχώρηςεν εἰς τὰ ὀπίςω, δοὺς τὸν ἔμπροςθεν | τόπον τοῖς μακαριωτάτοις ἐπιςκόποις εἰπών· Ὑμῖν πρέπει τοῖς ἱερεῦςιν τὸν ἔμπροςθεν τόπον ἔχειν, ἐμοὶ δὲ τῷ ταπεινῷ καὶ μηδὲ ἠξιωμένῳ χειροτονίας τὸν ὀπίςω. τότε ἔγνωμεν ὅτι διορατικὸς ὑπῆρχεν ὁ ὁςιώτατος Προκόπιος· μηδέποτε γὰρ θεαςάμενος ἡμᾶς μήτε ἀκούςας περὶ ἡμῶν ἔγνω διὰ τοῦ πνεύματος ὅτι ἐπίςκοποι ἐτύγχανον οἱ περὶ τοὺς μακαριωτάτους Ἰωάννην καὶ Πορφύριον. διὸ καὶ τὴν προτίμηςιν τῆς προςευχῆς ἔδωκεν αὐτοῖς. εἶτα μετὰ τὴν εὐχὴν ἐκαθίςαμεν, καὶ ὁμιλήςας ἡμῖν πολλὰ ψυχωφελῆ ἠρώτα τὴν αἰτίαν τοῦ ςκυλμοῦ. ὁ δὲ μακάριος Πορφύριος ἅπαντα αὐτῷ διηγήςατο τὰ κατὰ τοὺς Γαζαίους, πῶς ἐμμανῶς ἔχουςι περὶ τὰ εἴδωλα καὶ ὁπόςα δεινὰ οἱ Χριςτιανοὶ πάςχουςιν παρ᾿ αὐτῶν καὶ ὅτι χάριν τούτου ἀνέρχονται δεηθῆναι τῶν βαςιλέων

11 εὐςέβειον BV corr. v   17 ἠξιομένω V corr. v
23 ἐκαθήςαμεν BV corr. v   ὁμιλίςας B

36 καταϲτραφῆναι τὰ ἱερὰ τῶν εἰδώλων. ἀκούϲαϲ δὲ ὁ ἐν ἁγίοιϲ Προκόπιοϲ ὁ ἀναχωρητὴϲ καὶ δακρύϲαϲ εἶπεν· Κύριε Ἰηϲοῦ Χριϲτέ, ἐπίϲτρεψον τοὺϲ δούλουϲ ϲου ἀπὸ τῆϲ διαβολικῆϲ ἀπάτηϲ ἐπὶ τὴν πεφωτιϲμένην ϲου πίϲτιν. εἶτα λέγει πρὸϲ τοὺϲ ὁϲιωτάτουϲ ἐπιϲκόπουϲ· Μὴ ἀθυμήϲητε, πατέρεϲ· ὁ γὰρ θεὸϲ ὁ γινώϲκων τὸν ζῆλον τῆϲ πίϲτεωϲ ὑμῶν ἔχει εὐοδῶϲαι ὑμῖν καὶ δοῦναι πάντα τὰ καταθύμια ὑμῶν. δεῦτε οὖν παραινέϲω ὑμῖν ἃ ὁ κύριοϲ ἀπεκάλυψεν τῇ ἐμῇ ταπεινώϲει. ἀνερχόμενοι ἐπὶ τὸ Βυζάντιον πρῶτον ϲυντύχετε τῷ ὁϲιωτάτῳ ἐπιϲκόπῳ Ἰωάννῃ καὶ ἅμα αὐτῷ δεήϲειϲ ποιήϲαϲθε πρὸϲ τὸν θεὸν καὶ ἀνάθεϲθε αὐτῷ τὸ πρᾶγμα, καὶ ἔχει ὑμῖν ϲυμβουλεῦϲαι καὶ αὐτὸϲ ὃ ἀποκαλύπτει αὐτῷ ὁ κύριοϲ. λαλῆϲαι γὰρ οὐ δύναται ἐν τῷ παλατίῳ, ἐπειδὴ ἡ βαϲίλιϲϲα Εὐδοξία λυπεῖται κατ᾽ αὐτοῦ. αὐτὸϲ οὖν παρατίθεται ὑμᾶϲ Ἀμαντίῳ τῷ κουβικουλαρίῳ τῆϲ δεϲποίνηϲ, ἀνθρώπῳ θεοϲεβεῖ καὶ τιμῶντι τὸ πρόϲχημα τῶν ἱερέων, καὶ αὐτὸϲ εἰϲάγει ὑμᾶϲ πρὸϲ τὴν βαϲίλιϲϲαν, καὶ ὅταν εἰϲέλθητε πρὸϲ αὐτήν, εὐμενῶϲ ἔχει δέξαϲθαι ὑμᾶϲ. ἀνάθεϲθε οὖν αὐτῇ τὸ πᾶν πρᾶγμα καὶ ϲυντάξαϲθε αὐτῇ καὶ ἐξέλθατε. ἐν δὲ τῇ δευτέρᾳ εἰϲόδῳ μετὰ τὸ ὑμᾶϲ ὑπομνῆϲαι αὐτὴν χάριν τοῦ πράγματοϲ εἴπατε αὐτῇ ὅτι Ἐλπίζομεν εἰϲ τὸν Χριϲτὸν τὸν υἱὸν τοῦ θεοῦ, ἐὰν ϲπουδάϲῃϲ εἰϲ τὸ παρὸν πρᾶγμα, ἔχει δοῦναί ϲοι τέκνον

7 εὐωδῶϲαι B rad. corr. V ὑμῖν: ὑμεῖν B ὑμᾶϲ v 10 ϲυντύχεται BV corr. v 11 ποιήϲαϲθαι BV corr. v 12 ἀνάθεϲθαι BV corr. Ha ἡμῖν BV corr. Ha 14 βαϲιλείϲϲα B 15 λυπῆται B 17 θεοϲεβῆ BV corr. Ha 18 οὗτοϲ Eb 19 ὑμᾶϲ ex ἡμ. V ἀνάθεϲθαι BV corr. Ha 20 αὐτῇ: om. B πᾶν om. B ϲυντάξαϲθαι B 21 μετὰ τοῦ V 23 f. θεοῦ, <ὅτι> 24 ϲπουδάϲειϲ B

ἄρρεν. ἀκούcαcα δὲ τοῦτο περιχαρὴc ἔχει γενέcθαι (ἔcτιν γὰρ ἐγκύμων καὶ οὗτοc μήν ἐcτιν ἔνατοc τῆc κυήcεωc αὐτῆc) καὶ ἔχει πάντα πρᾶξαι εἰc τὸ ποιῆcαι τὸ πρᾶγμα ὑμῶν θεοῦ ἐπινεύοντοc. 4

ἡμεῖc δὲ ἀκούcαντεc τὸν λόγον τοῦ ἁγίου ἀνδρὸc 37
καὶ πιcτεύcαντεc εἰc ἃ ἐλάληcεν, λαβόντεc παράθεcιν ἐξήλθομεν καὶ ἀναχθέντεc ἐκείνῃ τῇ ἡμέρᾳ ἐπλεύcαμεν καὶ δι᾿ ἄλλων ἡμερῶν δέκα ἐφθάcαμεν τὸ Βυζάντιον καὶ λαβόντεc ξενίαν τῇ ἑξῆc ἐπορεύθημεν πρὸc τὸν ὁcιώτατον ἀρχιεπίcκοπον Ἰωάννην. γνοὺc δὲ τίνεc ἐcμὲν | ἐδέξατο ἡμᾶc μετὰ πολλῆc τιμῆc καὶ θεραπείαc. ἐπηρώτηcεν δὲ ἡμᾶc δι᾿ ἣν αἰτίαν cκυλμὸν ὑπεμείναμεν, καὶ διηγηcάμεθα αὐτῷ, καὶ γνοὺc ἀνεμνήcθη ὅτι καὶ πρὸ χρόνου τοῦτο διὰ γραμμάτων ἐδεήθημεν, καὶ ἐπιγνούc με φιλοφρόνωc ἠcπάcατο. παρακαλεῖ δὲ ἡμᾶc μὴ ἀθυμῆcαι, ἀλλ᾿ ἔχειν τὰc ἐλπίδαc εἰc τὰ ἐλέη τοῦ θεοῦ. εἶπεν δὲ πρὸc ἡμᾶc· Ἐγὼ μὲν οὐκ ἰcχύω τῷ βαcιλεῖ λαλῆcαι· παρώργιcεν γὰρ αὐτὸν κατ᾿ ἐμοῦ ἡ βαcίλιccα, διότι ἐνεκάλεcα αὐτῇ χάριν κτήματοc οὗ ἐπιθυμήcαcα ἀφήρπαcεν. καὶ ἐμοὶ μὲν εἰc τοῦτο οὐ μέλει ὅτι ὀργίζεται οὐδὲ φροντίζω, ἑαυτοὺc γὰρ ἔβλαψαν, οὐκ ἐμέ· κἂν γὰρ βλάψωcίν μου τὸ cῶμα, τὴν ψυχὴν πολλῷ πλέον ὠφελοῦcιν· ὅμωc δὲ τοῦτο καταλείψωμεν τῇ εὐcπλαγχνίᾳ τοῦ θεοῦ. περὶ δὲ τοῦ ὑμετέρου προcτάγματοc, εἰ δόξει τῷ κυρίῳ, αὔριον μεταπέμπομαι τὸν εὐνοῦ-

1 ἄρρενα BV corr. V² περιχαρὶc V 2 f. ⟨ὁ⟩ μήν cl. 38, 11 7 ἐξήλθωμεν BV corr. Ha 8 διάλων B 15 φιλοφρόνοc B 16 ἐλέει B 18 παρώργηcεν B παρόργηcεν V corr. v 20 ἀφιρπαcεν B μέλλει B ex μέλει V corr. Ha 21 οὐκαμέ B 22 τῶι V corr. v 23 [ὅ]μωc c. ras. V 24 ἡμετέρου V 25 δόξῃ BV corr. v

χον Ἀμάντιον, καστρήσιον ὄντα τῆς βασιλίσσης, πολλὰ δυνάμενον παρ᾽ αὐτῇ καὶ ὄντως δοῦλον τοῦ θεοῦ, καὶ ἀνατίθημι αὐτῷ τὸ πρᾶγμα, καὶ πάνυ ἔχει σπουδάσαι τοῦ Χριστοῦ ἐπινεύοντος. ἡμεῖς δὲ λαβόντες τοιαύτας συνταγὰς καὶ παράθεσιν ἐπορεύθημεν εἰς τὴν ξενίαν ἡμῶν.

38 τῇ δὲ ἑξῆς ἀπήλθομεν πρὸς τὸν ὅσιον καὶ εὑρίσκομεν παρ᾽ αὐτῷ τὸν κουβικουλάριον Ἀμάντιον· ἦν γὰρ φροντίσας τοῦ ἡμετέρου πράγματος, μεταπεμψάμενος αὐτὸν καὶ διδάξας τὰ καθ᾽ ἡμᾶς. ὡς δὲ εἰσήλθομεν καὶ ἔγνω ὁ Ἀμάντιος ὅτι ἡμεῖς ἐσμὲν περὶ ὧν αὐτῷ ἐλάλησεν, ἀναστὰς προσεκύνησεν τοὺς ὁσιωτάτους ἐπισκόπους, κλίνας τὸ πρόσωπον εἰς τὴν γῆν, κἀκεῖνοι δὲ γνόντες τίς ὑπῆρχεν περιεπτύξαντο αὐτὸν καὶ κατεφίλησαν. ἐπέτρεψεν δὲ καὶ αὐτοῖς ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Ἰωάννης ἐκ στόματος διδάξαι τὸν κουβικουλάριον τὸ κατ᾽ αὐτοὺς πρᾶγμα. ὁ δὲ ὁσιώτατος Πορφύριος πάντα αὐτῷ διηγήσατο τὰ κατὰ τοὺς εἰδωλολάτρας, πῶς παρρησίᾳ ποιοῦσιν τὰ ἀθέμιτα καὶ πῶς καταπονοῦσιν τοὺς Χριστιανούς. ὁ δὲ ἀκούσας ἐδάκρυσεν καὶ ἐμπιπλᾶται ζήλου θεϊκοῦ καὶ λέγει αὐτοῖς· Μὴ ἀθυμήσητε, πατέρες· ἔχει γὰρ ὁ δεσπότης Χριστὸς ὑπερασπίσαι τῆς θρησκείας αὐτοῦ. εὔξασθε οὖν ὑμεῖς καὶ διαλέγομαι τῇ αὐγούστῃ καὶ ἐλπίζω εἰς τὸν τῶν ὅλων θεόν, ὅτι συν-

1 κανστρήσιον V² -στρι- v 2 ὄντος BV corr. V² 4 Χριστοῦ: θεοῦ V 7 ἀπήλθωμεν B 10 εἰσήλθωμεν B rad. corr. V 11 ἐλαλήσαμεν BV corr. Ha 12 ὁσιοτάτους B 14 γνῶντες B rad. corr. V 19 ποιοῦσι V ἀθέμητα B 20 ἀκούων ἐδάκρυεν V 21 ἀθυμήσηται V corr. v 22 ὑπερασπῆσαι BV corr. v 23 θρισκίας V corr. V² -κει- v εὔξασθαι BV corr. v οὖν bis, alterum del. B

ἤθωc ποιεῖ τὸ ἔλεοc αὐτοῦ. εἰcφέρω δὲ καὶ ὑμᾶc τῇ ἑξῆc πρὸc αὐτὴν καὶ διδάcκετε αὐτὴν ἐκ cτόματοc ὅcα βούλεcθε, ἔχετε δὲ αὐτὴν προδεδιδαγμένην εὑρεῖν ὑπ' ἐμοῦ. εἰπὼν δὲ ταῦτα cυνταξάμενοc ἡμῖν ἀνῆλθεν, καὶ ἡμεῖc δὲ διαλεχθέντεc πολλὰ πνευματικὰ μετὰ τοῦ ὁcιωτάτου ἀρχιεπιcκόπου Ἰωάννου καὶ λαβόντεc παράθεcιν ἀνεχωρή|cαμεν.

τῇ δὲ ἑξῆc μεταπέμπεται ἡμᾶc ὁ κουβικουλάριοc 39
Ἀμάντιοc διὰ δύο δεκανῶν ἀπελθεῖν εἰc τὸ παλάτιον, καὶ ἀναcτάντεc cπουδῇ ἐπορεύθημεν. εὕραμεν δὲ αὐτὸν περιμένοντα ἡμᾶc, καὶ λαβὼν τοὺc δύο ἐπιcκόπουc εἰcήγαγεν πρὸc τὴν αὐγοῦcταν Εὐδοξίαν. ὡc δὲ ἐθεάcατο αὐτούc, προηcπάcατο εἰποῦcα· Εὐλογήcατε, πατέρεc, κἀκεῖνοι δὲ προcεκύνηcαν αὐτήν. ἐκαθέζετο δὲ ἐπὶ χρυcῆc κλίνηc, καὶ λέγει αὐτοῖc· Cύγγνωτέ μοι, ἱερεῖc τοῦ Χριcτοῦ, διὰ τὴν ἐπικειμένην μοι ἀνάγκην τῆc γαcτρόc· ἐχρεώcτουν γὰρ εἰc τὸ πρόθυρον ὑπαντῆcαι τῇ ὑμῶν ὁcιότητι. ἀλλὰ διὰ τὸν κύριον εὔξαcθε ὑπὲρ ἐμοῦ, ἵνα ἀπόθωμαι τὸ ἐν τῇ γαcτρὶ μετὰ φιλανθρωπίαc. οἱ δὲ ὁcιώτατοι ἐπίcκοποι θαυμάcαντεc τὴν cυγκατάβαcιν αὐτῆc εἶπαν· Ὁ εὐλογήcαc τὴν μήτραν τῆc Cάραc καὶ τῆc Ῥεβέκκαc καὶ τῆc Ἐλιcάβετ εὐλογῆcαι τὸ ἐν τῇ γαcτρί cου καὶ ζωῶcαι. ὡc δὲ καὶ ἄλλα ῥήματα πνευματικὰ ἐλάληcαν, λέγει αὐτοῖc· Ἔγνων διὰ τί ἐcκύλητε· προεδίδαξέν 40
με γὰρ Ἀμάντιοc ὁ καcτρήcιοc. εἰ δὲ καὶ ὑμεῖc θέλετέ με διδάξαι, κελεύcατε, πατέρεc. ἐπιτραπέντεc δὲ πάντα

2 διδάcκεται BV corr. v αὐτῇ ἐκ BV 3 βούλεcθαι BV corr. v ἔχεται B προδιδαγμένην BV 4 f. ἀπῆλθεν 10 εὕρομεν v 17 ἐχρεόcτουν BV corr. Ha 18 ὁcιώτητι BV corr. Ha εὔξαcθαι BV corr. Ha 19 τῷ V 21 εἶπον v ῥεβέκαc B 24 ἐcκύλιται B 25 καcτρίcιοc BV corr. Ha θέλεται B

τὰ κατὰ τοὺς εἰδωλομανεῖς ἐδίδαξαν, πῶς ποιοῦσιν ἀφόβως τὰ ἀνόσια καὶ πῶς καταδυναστεύουσιν τοὺς Χριστιανούς, μὴ συγχωροῦντες μετελθεῖν ὀφφίκιον πολιτικὸν μηδὲ τὰ χωρία αὐτῶν γεωργηθῆναι, ἐξ ὧν τὰ δημόσια τελοῦσιν τῷ ὑμετέρῳ κράτει. ἀκούσασα δὲ ἡ βασίλισσα εἶπεν· Μὴ ἀθυμήσητε, πατέρες· ἐλπίζω γὰρ εἰς τὸν δεσπότην Χριστόν, τὸν υἱὸν τοῦ θεοῦ, ὅτι πείθω τὸν βασιλέα ποιῆσαι τὰ πρέποντα τῇ ἁγίᾳ ὑμῶν πίστει καὶ ὑμᾶς τεθεραπευμένους ἔνθεν ἀπολῦσαι. ἀπέλθατε οὖν γενέσθαι ἑαυτῶν (ἐστὲ γὰρ ἀπὸ κόπου) καὶ εὔξασθε ἵνα συνεργήσῃ ὁ θεὸς τῇ αἰτήσει μου. εἰποῦσα δὲ ταῦτα ἐκέλευσεν χρήματα ἐνεχθῆναι καὶ λαβοῦσα ἀνὰ τρεῖς δράκας δέδωκεν τοῖς ὁσιωτάτοις ἐπισκόποις εἰποῦσα· Λάβετε τέως ταῦτα εἰς δαπανήματα. οἱ δὲ ἐπίσκοποι δεξάμενοι καὶ πολλὰ αὐτὴν εὐλογήσαντες ἐξῆλθον. ἐξερχόμενοι δὲ τὰ πολλὰ τῶν νομισμάτων διέδωκαν τοῖς ἐφισταμένοις ταῖς θύραις δεκανοῖς, ὡς ὀλίγα μετ᾽ αὐτῶν ὑπολειφθῆναι. ἡ δὲ βασίλισσα εἰσελθόντος τοῦ βασιλέως πρὸς αὐτὴν ἐδίδαξεν αὐτὸν τὰ κατὰ τοὺς ἐπισκόπους πράγματα, ᾔτει δὲ αὐτῷ καταστραφῆναι τὰ ἱερὰ Γάζης.

41 ὁ δὲ βασιλεὺς ἀκούσας ἐδυσχέραινεν εἰπών· Οἶδα ὅτι ἡ πόλις ἐκείνη κατείδωλός ἐστιν, ἀλλ᾽ εὐγνωμονεῖ περὶ τὴν εἰσφορὰν τῶν δημοσίων πολλὰ συντελοῦσα. ἐὰν οὖν αἰφνιδιάσωμεν αὐτοὺς τῷ φόβῳ, φυγῇ χρήσονται καὶ ἀπόλλομεν τοσοῦτον κανόνα. ἀλλ᾽ εἰ δοκεῖ κατὰ

1 εἰδωλωμανεῖς B 6 ἀθυμήσηται V corr. v 9 ἀπέλθετε v 10 ἑαυτὸν B ἐσται B εὔξασθαι BV corr. v 11 αἰτήσῃ B 13 δέδωκε V 16 τὸν B 18 ὑποληφθῆναι BV corr. Ha 20 αὐτὸν Ha 21 ἐδυσχέραινε B f. ἐδυσχέρανεν 24 ἐφνηδιάσωμεν BV corr. v χρίσονται B 25 ἀπόλομεν B ex ἀπόλλομεν V

μέρος θλίβομεν αὐτούς, | περιαιροῦντες τὰς ἀξίας τῶν εἰδωλομανῶν καὶ τὰ ἄλλα πολιτικὰ ὀφφίκια, καὶ κελεύομεν τὰ ἱερὰ αὐτῶν κλεισθῆναι καὶ μηκέτι χρηματίζειν. ἐπὰν γὰρ θλιβῶσιν εἰς πάντα στενούμενοι, ἐπιγινώσκουσιν τὴν ἀλήθειαν· τὸ γὰρ ὑπερβολὴν ἔχον αἰφνίδιον βαρὺ τοῖς ὑπηκόοις. ἡ δὲ βασίλισσα ἀκούσασα ἐλυπήθη σφόδρα (ἦν γὰρ θερμὴ περὶ τὴν πίστιν), οὐκ ἀπεκρίθη δὲ τῷ βασιλεῖ ῥῆμα ἢ τοῦτο· Ὁ κύριος ἔχει βοηθῆσαι τοῖς δούλοις αὐτοῦ τοῖς Χριστιανοῖς, κἂν θέλωμεν ἡμεῖς κἂν μὴ θέλωμεν. ταῦτα διηγήσατο ἡμῖν ὁ θεοσεβὴς Ἀμάντιος ὁ κουβικουλάριος.

τῇ δὲ ἑξῆς μετεπέμψατο ἡμᾶς ἡ αὐγούστα καὶ κατὰ 42
τὸ ἔθος προασπασαμένη τοὺς ὁσίους ἐπισκόπους ἐπέτρεψεν καθίσαι. μετὰ δὲ τὸ λαλῆσαι πολλοὺς λόγους πνευματικοὺς λέγει αὐτοῖς· Ἐλάλησα τῷ βασιλεῖ καὶ μικρὸν ἐδυσχέρανεν. ἀλλὰ μὴ ἀθυμεῖτε· θεοῦ γὰρ θέλοντος οὐκ ἔχω παύσασθαι ἕως ὅτε πληρωθῆτε καὶ ἐξέλθητε ἀνύσαντες τὸν κατὰ θεὸν ὑμῶν σκοπόν. οἱ δὲ ἐπίσκοποι ἀκούσαντες προσεκύνησαν. κατανυγεὶς δὲ ὁ ἐν ἁγίοις Πορφύριος ὁ ἡμέτερος, ἀναμνησθεὶς τοῦ λόγου τοῦ τρισμακαρίου Προκοπίου τοῦ ἀναχωρητοῦ, εἶπεν τῇ βασιλίσσῃ· Κοπώθητι διὰ τὸν Χριστόν, καὶ αὐτὸς ἔχει χαρίσασθαί σοι ἀντὶ τοῦ κόπου σου υἱὸν ὅστις ζήσει καὶ βασιλεύσει σοῦ ὁρώσης καὶ ἀπολαυούσης ἐπὶ ἔτη πολλά. ἀκούσασα δὲ ἡ βασίλισσα τοῦ λόγου ἐπλήσθη

1 θλίβωμεν Ha 3 κλισθῆναι B μηκέτη B χριματίζειν V corr. V² 5 ἔχων ἐφνίδιον BV corr. v f. αἰφνιδίου 6 ὑπ[η]κόοις c. ras. V 13 προασπασαμέν[η] c. ras. V 16 ἀθυμεῖται B ἀθυμῆται V -τε v corr. Ha 17 παύσασθε v ἐξέλθεται B 21 ἀναχωριτοῦ B 22 κοπόθητι BV corr. v 23 χαρίσεσθαι V ὅστι*ς V ζήσῃ B 24 βασιλεύσῃ B

χαρᾶς καὶ ἐγένετο τὸ πρόσωπον αὐτῆς ἐρυθρὸν καὶ
προσετέθη τῇ ὄψει κάλλος ὑπὲρ ὃ εἶχεν· τὰ γὰρ τῶν
43 ἀδήλων φανεροῖ τὰ φαινόμενα. λέγει οὖν τοῖς ὁσιω-
τάτοις ἐπισκόποις· Εὔξασθε, πατέρες, ἵνα κατὰ τὸ ῥῆμα
ὑμῶν θεοῦ θέλοντος γεννήσω τὸν ἄρρενα, καὶ ἐὰν τοῦτο
γένηται, ἐπαγγέλλομαι ὑμῖν πάντα ὅσα αἰτεῖτε ποιεῖν.
καὶ ἄλλο δὲ ὃ οὐκ αἰτήσασθε μέλλω ποιεῖν Χριστοῦ
ἐπινεύοντος· ἁγίαν γὰρ ἐκκλησίαν κτίζω ἐν Γάζῃ εἰς τὸ
μεσώτατον τῆς πόλεως. ἀπέλθατε οὖν μετ' εἰρήνης καὶ
ἡσυχάσατε εὐχόμενοι συνεχῶς ὑπὲρ ἐμοῦ ἵνα μετὰ φιλαν-
θρωπίας τέκω· οὗτος γάρ ἐστιν ὁ μὴν ἔνατος καὶ ἐγγύς
ἐστιν τοῦ πληρῶσαι. συνταξάμενοι οὖν οἱ ἐπίσκοποι
καὶ παραθέμενοι αὐτὴν τῷ θεῷ ἐξῆλθον τοῦ παλατίου.
ἦν δὲ εὐχὴ ἵνα τέκῃ ἄρρενα· ἐπιστεύομεν γὰρ τῷ λόγῳ
τοῦ ὁσίου Προκοπίου τοῦ ἀναχωρητοῦ. καὶ καθ' ἡμέραν
ἐπορευόμεθα πρὸς τὸν ἁγιώτατον Ἰωάννην τὸν ἀρχι-
επίσκοπον καὶ ἀπελαύομεν τῶν ἁγίων αὐτοῦ λόγων τῶν
γλυκυτέρων ὑπὲρ μέλι καὶ κηρίον. ἤρχετο δὲ συνεχῶς
πρὸς ἡμᾶς Ἀμάντιος ὁ κουβικουλάριος, ποτὲ μὲν φέρων
ἀποκρίσεις τῆς βασιλίσσης, ποτὲ δὲ καὶ χάριν συντυχίας.
44 μετ' ὀλίγας δὲ ἡμέρας γεννᾷ ἡ βασίλισσα τὸν ἄρρενα
καὶ καλοῦσι τὸ ὄνομα | αὐτοῦ Θεοδόσιον εἰς τὸ ὄνομα
τοῦ αὐτοῦ πάππου Θεοδοσίου τοῦ Σπάνου, τοῦ συμ-
βασιλεύσαντος Γρατιανῷ. ὁ δὲ γεννηθεὶς νέος Θεοδόσιος

18 cf. Ps. 18, 11

1 ἐγένετον B 2 κάλος B 3 ἀδείλων BV corr. v 4 εὔξασθαι B 5 τέκνον ἄρρεν Eb 6 ἐπαγγέλωμαι B (λλ) V corr. v αἰτεῖται B αἰτῆται V -τε v corr. Ha 7 ετίσασθε B ᾐτή- v 9 ἀπέλθετε v 11 οὗτος ... ἔνατος om. V 14 τέκει BV corr. v 17 λογίων V 18 συνεχῶς om. V 21 τέκνον ἄρρεν Eb 22 αὐτοῦ om. V

ἐν τῇ πορφύρᾳ ἐτέχθη, ὅθεν καὶ ἀπὸ λοχείας βασιλεὺς ἀνηγορεύθη. ἐγένετο δὲ πολλὴ χαρμοσύνη ἐν τῇ πόλει καὶ ἐπέμφθησαν εὐαγγελιζόμενοί τινες εἰς τὰς πόλεις καὶ δωρεαὶ καὶ χαρίσματα. ἡ δὲ δέσποινα ᾗ μόνον ἔτεκεν καὶ ἀνέστη ἐκ τοῦ λοχηφόρου δίφρου, ἀπέστειλεν πρὸς ἡμᾶς Ἀμάντιον, λέγουσα ἡμῖν δι' αὐτοῦ· Εὐχαριστῶ τῷ Χριστῷ ὅτι διὰ τῶν ὁσίων ὑμῶν εὐχῶν ἐχαρίσατό μοι ὁ θεὸς τὸν υἱόν. εὔξασθε οὖν, πατέρες, τῇ ζωῇ αὐτοῦ κἀμοὶ δὲ τῇ ταπεινῇ ἵνα ἐκεῖνα πληρώσω ἃ ἐπηγγειλάμην ὑμῖν, πάλιν αὐτοῦ τοῦ Χριστοῦ θέλοντος διὰ τῶν ἁγίων ὑμῶν εὐχῶν.

45 τῶν δὲ ἑπτὰ ἡμερῶν τῆς λοχείας πληρωθεισῶν μεταπέμπεται ἡμᾶς καὶ ἀπαντᾷ ἡμῖν εἰς τὴν θύραν τοῦ κουβουκλίου, βαστάζουσα καὶ τὸ βρέφος ἐν τῇ πορφύρᾳ. ἔκλινεν δὲ τὴν κεφαλήν εἰποῦσα· Ἐγγίσατε, πατέρες, ἐμὲ καὶ τὸ παιδίον ὃ ἐχαρίσατό μοι ὁ θεὸς διὰ τῶν ὑμῶν ἁγίων εὐχῶν. ἐπεδίδου δὲ καὶ τὸ βρέφος ἵνα αὐτὸ σφραγίσωσιν. οἱ δὲ ὅσιοι ἐπίσκοποι καὶ αὐτὴν καὶ τὸ παιδίον ἐσφράγισαν τῇ τοῦ σταυροῦ σφραγῖδι καὶ ποιήσαντες εὐχὴν ἐκάθισαν. μετὰ δὲ τὸ λαλῆσαι αὐτοὺς πολλοὺς λόγους πεπληρωμένους κατανύξεως λέγει πρὸς αὐτοὺς ἡ δέσποινα· Οἴδατε, πατέρες, τί ἐβουλευσάμην ποιῆσαι περὶ τοῦ ὑμετέρου πράγματος; ὁ δὲ ἐμὸς κύριος Πορφύριος ἀποκριθεὶς εἶπεν· Ὅσα ἐβουλεύσω, κατὰ θεὸν ἐβουλεύσω· καὶ γὰρ ἐν ταύτῃ τῇ νυκτὶ ἀπεκαλύφθη

3 τινες εὐαγγελιζόμενοι V 4 ἣ μόνον BV corr. Eb 5 λοχιφόρου BV corr. v (cf. Soran. 21, 68 p. 236 R, Artemid. V 73 p. 268, 16 H) 7 ὑμῶν ὁσίων V 8 ὁ θεὸς f. del. εὔξασθαι BV corr. v 12 πληρωθησῶν B 13 κουβουκλίου: -κλεί- v 15 ἐνγίσατε V ἐγγ- v f. εὐλογήσατε 16 θεός: κύριος V 17 αὐτῷ B αὐτ[ὸ] c. ras. V 18 σφραγίδη B 19 ἐκάθησαν BV corr. v 22 ὑμετέρου ex ἡμ. V ἐμοῦ B

τῇ ἐμῇ εὐτελείᾳ δι᾽ ὁράματος εἶναι ἐν Γάζῃ, ἑcτάναι δὲ ἐν τῷ ἐκεῖcε εἰδωλείῳ τῷ καλουμένῳ Μαρνείῳ καὶ τὴν cὴν εὐcέβειαν ἐπιδιδόναι μοι εὐαγγέλιον, καὶ λέγειν μοι· Λάβε ἀνάγνωθι. ἐγὼ δὲ ἀναπτύξαc εὗρον τὴν περικοπὴν ἐν ᾗ λέγει ὁ δεcπότηc Χριcτὸc τῷ Πέτρῳ· ‘cὺ εἶ Πέτροc, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήcω μου τὴν ἐκκληcίαν, καὶ πύλαι ᾅδου οὐ κατιcχύcουcιν αὐτῆc’. cὺ ⟨δέ⟩, δέcποινα, ἀποκριθεῖcα εἶπαc· Εἰρήνη coι, ἴcχυε καὶ ἀνδρίζου. καὶ ἐπὶ τούτοιc διυπνίcθην, καὶ ἐκ τούτου πέπειcμαι ὅτι ἔχει ὁ υἱὸc τοῦ θεοῦ cυνεργῆcαι τῇ cῇ προαιρέcει. εἰπὲ δὲ ἡμῖν, δέcποινα, τί ἐβουλεύcω.

46 ἡ βαcίλιccα ἀποκριθεῖcα εἶπεν· Ἐὰν παραcτῇ τῷ Χριcτῷ, μετ᾽ ὀλίγαc ἡμέραc ἀξιοῦται τὸ παιδίον τοῦ ἁγίου βαπτίcματοc. ἀπελθόντεc οὖν ποιήcατε ἱκεcίαν καὶ αἰτήcαcθε τάξαντεc ἐν αὐτῇ ὅcα ἂν βούληcθε, καὶ ὅταν ἐξέλθῃ τὸ βρέφοc ἐκ τοῦ τιμίου βαπτίcματοc, ἐπίδοτε τὴν ἱκεcίαν τῷ βαcτάζοντι αὐτό, ἐγὼ δὲ διδάcκω αὐτὸν τί ποιῆcαι, καὶ ἐλπίζω εἰc τὸν υἱὸν τοῦ θεοῦ ὅτι ὅλον τὸ πρᾶγμα | ἔχει οἰκονομῆcαι κατὰ τὸ θέλημα τῆc αὐτοῦ εὐcπλαγχνίαc. ἡμεῖc δὲ λαβόντεc τοιαύταc cυνταγὰc πολλὰ εὐλογήcαντεc αὐτήν τε καὶ τὸ βρέφοc ἐξήλθαμεν καὶ ἀπελθόντεc ἐποιήcαμεν τὴν ἱκεcίαν, πολλὰ τάξαντεc ἐν τῷ χάρτῃ, οὐ μόνον τὴν καταcτροφὴν τῶν εἰδώλων, ἀλλὰ καὶ προνόμια τῇ ἁγίᾳ ἐκκληcίᾳ καὶ τοῖc

5 Matth. 16, 18

2 εἰδωλίω BV corr. v 3 ἐπιδιδόμοι B λέγει B 4 ἀνάγνωθη B 7 οὐ sscr. V² 8 δέ add. Eb ἀποκριθῆcα B 10 πέπιcμαι BV corr. v cυνεργήcει V 14 ποιήcαται B αἰτήcαcθαι BV corr. v 15 βούλεcθαι BV corr. v 17 αὐτό: αὐτῷ B 18 ὅλων B 21 ἐξήλθ[ο]μεν c. ras. V 23 χάρτι BV corr. Ha

Χριστιανοῖς καὶ πρόσοδον παρασχεθῆναι· ἦν γὰρ πενιχρὰ ἡ ἁγία ἐκκλησία.

τῶν δὲ ἡμερῶν διαδραμουσῶν ἐπέφθασεν ἡ ἡμέρα 47
ἐν ᾗ ἔμελλεν φωτίζεσθαι ὁ νέος βασιλεὺς Θεοδόσιος. ἐστεφανώθη δὲ πᾶσα ἡ πόλις καὶ ἐκοσμήθη ἔκ τε ὁλοσηρικῶν καὶ χρυσωμάτων καὶ ἄλλου παντοίου κόσμου, ὡς μὴ δύνασθαί τινα ἐξειπεῖν τὸν κόσμον τῆς πόλεως· ἀλλὰ καὶ τὰ πλήθη τῶν οἰκητόρων τὰ κυματώδη ἦν θεάσασθαι παντοίαις ἰδέαις ἱματίων ἐναλλάττοντα. τῆς δὲ ἐμῆς δυνάμεως οὐκ ἔστιν φράσαι τὴν λαμπρότητα τοῦ κόσμου ἐκείνου, ἀλλ' ἐκείνων τῶν τὸν λόγον ἠσκημένων, ἐγὼ δὲ ἐπὶ τὴν παροῦσαν ἀληθῆ συγγραφὴν μετελεύσομαι. βαπτισθέντος τοῦ νέου Θεοδοσίου καὶ ἐξελθόντος ἐκ τῆς ἐκκλησίας ἐπὶ τὸ παλάτιον ἦν πάλιν θεάσασθαι τὴν ἀρετὴν τοῦ πλήθους τῶν προηγουμένων καὶ τὴν ἐξαστράπτουσαν αὐτῶν ἐσθῆτα· πάντες γὰρ ἐλευκοφόρουν, ὡς νομίζεσθαι τὸ πλῆθος ὑπὸ χιόνος πεπληρῶσθαι. προηγοῦντο δὲ πατρίκιοι, ἰλλούστριοι καὶ πᾶσα ἀξία μετὰ τῶν στρατιωτικῶν ταγμάτων, πάντες κηροὺς βαστάζοντες, ὡς νομίζεσθαι ἐν τῇ γῇ ἄστρα φαίνεσθαι. ἦν δὲ πλησίον τοῦ βασταζομένου βρέφους καὶ αὐτὸς ὁ βασιλεὺς Ἀρκάδιος, ἔχων τὸ πρόσωπον ἱλαρὸν καὶ ἔκλαμπρον πλέον ἧς ἐφόρει πορφύρας, εἷς δὲ τῶν μεγιστάνων ἐβάσταζεν τὸ βρέφος ἐν λαμπρᾷ ἐσθῆτι. ἡμεῖς δὲ ἐθαυμάσαμεν ὁρῶντες τὴν τοσαύτην δόξαν.

1 πρόσ[ο]δον c. ras. V πενηχρὰ B 5 ἐκοσμίθη B ὁλοσιρικῶν BV corr. V² 6 χρυσομάτων BV corr. V² 8 πλήθει B 9 παντοίας ἰδέας Ha εἰδέαις BV ἐναλάττοντα B 11 τῶν sscr. B λόγων V corr. v 13 βαπτ. ⟨οὖν⟩ Eb 17 exp. τὴν πλατεῖαν χιῶνος BV corr. v 18 προσηγοῦντο BV corr. Ha ἰλούστριοι BV corr. Ha 25 ἐθαυμ Vάσ[α]μεν c. ras.

τῇ ἐμῇ εὐτελείᾳ δι' ὁράματος εἶναι ἐν Γάζῃ, ἑστάναι δὲ ἐν τῷ ἐκεῖσε εἰδωλείῳ τῷ καλουμένῳ Μαρνείῳ καὶ τὴν σὴν εὐσέβειαν ἐπιδιδόναι μοι εὐαγγέλιον, καὶ λέγειν μοι· Λάβε ἀνάγνωθι. ἐγὼ δὲ ἀναπτύξας εὗρον τὴν περικοπὴν ἐν ᾗ λέγει ὁ δεσπότης Χριστὸς τῷ Πέτρῳ· ʽσὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆςʼ. σὺ ⟨δέ⟩, δέσποινα, ἀποκριθεῖσα εἶπας· Εἰρήνη σοι, ἴσχυε καὶ ἀνδρίζου. καὶ ἐπὶ τούτοις διυπνίσθην, καὶ ἐκ τούτου πέπεισμαι ὅτι ἔχει ὁ υἱὸς τοῦ θεοῦ συνεργῆσαι τῇ σῇ προαιρέσει. εἰπὲ δὲ ἡμῖν, δέσποινα, τί ἐβουλεύσω.

46 ἡ βασίλισσα ἀποκριθεῖσα εἶπεν· Ἐὰν παραστῇ τῷ Χριστῷ, μετ' ὀλίγας ἡμέρας ἀξιοῦται τὸ παιδίον τοῦ ἁγίου βαπτίσματος. ἀπελθόντες οὖν ποιήσατε ἱκεσίαν καὶ αἰτήσασθε τάξαντες ἐν αὐτῇ ὅσα ἂν βούλησθε, καὶ ὅταν ἐξέλθῃ τὸ βρέφος ἐκ τοῦ τιμίου βαπτίσματος, ἐπίδοτε τὴν ἱκεσίαν τῷ βαστάζοντι αὐτό, ἐγὼ δὲ διδάσκω αὐτὸν τί ποιῆσαι, καὶ ἐλπίζω εἰς τὸν υἱὸν τοῦ θεοῦ ὅτι ὅλον τὸ πρᾶγμα | ἔχει οἰκονομῆσαι κατὰ τὸ θέλημα τῆς αὐτοῦ εὐσπλαγχνίας. ἡμεῖς δὲ λαβόντες τοιαύτας συνταγὰς πολλὰ εὐλογήσαντες αὐτήν τε καὶ τὸ βρέφος ἐξήλθαμεν καὶ ἀπελθόντες ἐποιήσαμεν τὴν ἱκεσίαν, πολλὰ τάξαντες ἐν τῷ χάρτῃ, οὐ μόνον τὴν καταστροφὴν τῶν εἰδώλων, ἀλλὰ καὶ προνόμια τῇ ἁγίᾳ ἐκκλησίᾳ καὶ τοῖς

5 Matth. 16, 18

2 εἰδωλίω BV corr. v 3 ἐπιδιδόμοι B λέγει B 4 ἀνάγνωθη B 7 οὐ sscr. V² 8 δέ add. Eb ἀποκριθῆσα B 10 πέπισμαι BV corr. v συνεργήσει V 14 ποιήσαται B αἰτήσασθαι BV corr. v 15 βούλεσθαι BV corr. v 17 αὐτό: αὐτῶ B 18 ὅλων B 21 ἐξήλθ[ο]μεν c. ras. V 23 χάρτι BV corr. Ha

Χριστιανοῖς καὶ πρόσοδον παρασχεθῆναι· ἦν γὰρ πενιχρὰ ἡ ἁγία ἐκκλησία.

τῶν δὲ ἡμερῶν διαδραμουσῶν ἐπέφθασεν ἡ ἡμέρα 47
ἐν ᾗ ἔμελλεν φωτίζεσθαι ὁ νέος βασιλεὺς Θεοδόσιος. ἐστεφανώθη δὲ πᾶσα ἡ πόλις καὶ ἐκοσμήθη ἔκ τε ὁλοσηρικῶν καὶ χρυσωμάτων καὶ ἄλλου παντοίου κόσμου, ὥς μὴ δύνασθαί τινα ἐξειπεῖν τὸν κόσμον τῆς πόλεως· ἀλλὰ καὶ τὰ πλήθη τῶν οἰκητόρων τὰ κυματώδη ἦν θεάσασθαι παντοίαις ἰδέαις ἱματίων ἐναλλάττοντα. τῆς δὲ ἐμῆς δυνάμεως οὐκ ἔστιν φράσαι τὴν λαμπρότητα τοῦ κόσμου ἐκείνου, ἀλλ᾽ ἐκείνων τῶν τὸν λόγον ἠσκημένων, ἐγὼ δὲ ἐπὶ τὴν παροῦσαν ἀληθῆ συγγραφὴν μετελεύσομαι. βαπτισθέντος τοῦ νέου Θεοδοσίου καὶ ἐξελθόντος ἐκ τῆς ἐκκλησίας ἐπὶ τὸ παλάτιον ἦν πάλιν θεάσασθαι τὴν ἀρετὴν τοῦ πλήθους τῶν προηγουμένων καὶ τὴν ἐξαστράπτουσαν αὐτῶν ἐσθῆτα· πάντες γὰρ ἐλευκοφόρουν, ὥς νομίζεσθαι τὸ πλῆθος ὑπὸ χιόνος πεπληρῶσθαι. προηγοῦντο δὲ πατρίκιοι, ἰλλούστριοι καὶ πᾶσα ἀξία μετὰ τῶν στρατιωτικῶν ταγμάτων, πάντες κηροὺς βαστάζοντες, ὥς νομίζεσθαι ἐν τῇ γῇ ἄστρα φαίνεσθαι. ἦν δὲ πλησίον τοῦ βασταζομένου βρέφους καὶ αὐτὸς ὁ βασιλεὺς Ἀρκάδιος, ἔχων τὸ πρόσωπον ἱλαρὸν καὶ ἔκλαμπρον πλέον ἧς ἐφόρει πορφύρας, εἷς δὲ τῶν μεγιστάνων ἐβάσταζεν τὸ βρέφος ἐν λαμπρᾷ ἐσθῆτι. ἡμεῖς δὲ ἐθαυμάσαμεν ὁρῶντες τὴν τοσαύτην δόξαν.

1 πρόσ[ο]δον c. ras. V πενηχρὰ B 5 ἐκοσμίθη B ὁλοσιρικῶν BV corr. V² 6 χρυσομάτων BV corr. V² 8 πλήθει B 9 παντοίας ἰδέας Ha εἰδέαις BV ἐναλάττοντα B 11 τῶν sscr. B λόγων V corr. v 13 βαπτ. ⟨οὖν⟩ Eb 17 exp. τὴν πλατεῖαν χιῶνος BV corr. v 18 προσηγοῦντο BV corr. Ha ἱλούστριοι BV corr. Ha 25 ἐθαυμ Vάσ[α]μεν c. ras.

λέγει δὲ ἡμῖν ὁ ἐν ἁγίοις Πορφύριος· Εἰ τὰ γήινα καὶ μετ' ὀλίγον ἀφανιζόμενα τοιαύτην ἔχει δόξαν, πόσῳ τὰ ἐπουράνια τὰ ἡτοιμασμένα τοῖς ἀξίοις, ἃ οὔτε ὀφθαλμὸς εἶδεν οὔτε οὖς ἤκουσεν οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη; ἕστημεν δὲ ἡμεῖς εἰς τὸ πρόθυρον τῆς ἁγίας
48 ἐκκλησίας ἔχοντες καὶ τὸν χάρτην τῆς ἱκεσίας, καὶ ὡς ἐξῆλθεν ἐκ τοῦ βαπτίσματος, ἀνεβοήσαμεν εἰπόντες· Δεόμεθα τῆς σῆς εὐσεβείας, προτείνοντες καὶ τὸν χάρτην. θεασάμενος δὲ ὁ τὸ παιδίον βαστάζων καὶ γινώσκων τὸ καθ' ἡμᾶς πρᾶγμα (προεδιδάχθη γὰρ ὑπὸ τῆς δεσποίνης), ἐκέλευσεν τὸν χάρτην δειχθῆναι αὐτῷ, καὶ δεξάμενος ἔστη. ἐκέλευσεν δὲ ἡσυχίαν γενέσθαι καὶ λύσας μέρος ἀνέγνω καὶ εἱλίξας ὑπέβαλεν τὴν χεῖρα τῇ κεφαλῇ τοῦ βρέφους καὶ ὑποκλίνας αὐτὴν ἐπὶ πάντων ἔκραξεν· | Ἐκέλευσεν τὸ κράτος αὐτῶν γενέσθαι τὰ ἐν τῇ ἱκεσίᾳ. πάντες δὲ θεασάμενοι ἐθαύμασαν καὶ προσεκύνουν τῷ βασιλεῖ, μακαρίζοντες αὐτὸν ὅτι ἠξιώθη ἰδεῖν ἐν τῇ ζωῇ αὐτοῦ υἱὸν βασιλεύοντα· ἐγαυρία δὲ ἀκούων. προηγγέλθη δὲ καὶ τῇ βασιλίσσῃ Εὐδοξίᾳ τὸ γενόμενον χάριν τοῦ αὐτῆς τέκνου, ἐχάρη δὲ καὶ γονυπετήσασα
49 ηὐχαρίστησεν τῷ θεῷ. εἰσελθόντος δὲ τοῦ παιδίου ἐν τῷ παλατίῳ ὑπήντησεν αὐτῷ ἡ δέσποινα καὶ ἐδέξατο καὶ κατεφίλησεν, καὶ βαστάζουσα αὐτὸ ἠσπάσατο καὶ τὸν βασιλέα εἰποῦσα· Μακάριος εἶ, δέσποτα, ἐφ' οἷς ἑωράκασιν οἱ ὀφθαλμοί σου ἐν τῇ ζωῇ σου· καὶ ὁ βασιλεὺς

3 cf. Cor. I 2, 9

1 γήινα B λέγει ἵνα V expunxit V[2] 5 ἠνέβη V 6 [ἱ]κεσίας c. ras. V 8 προτίνοντες BV corr. V[2] 11 δεχθῆναι BV corr. Ha 13 ἠνέγνω V εἰλίξας Bv ἠλίξας V 15 αὐτῶν BVP αὐτοῦ Ha 20 ἐχάρι B ἐχάρει V corr. v 22 αὐτὸ V corr. v 23 αὐτῶ B 24 ἑοράκασιν B

ἔχαιρεν ἀκούων. ἰδοῦcα δὲ αὐτὸν ἡ βαcίλιccα ἱλαρὸν εἶπεν· Εἰ δοκεῖ μάθωμεν τί περιέχει ἡ ἱκεcία, ἵνα πάντωc γένηται τὰ ἐν αὐτῇ. ὁ δὲ βαcιλεὺc ἐκέλευcεν ἀναγνωcθῆναι τὸν χάρτην, καὶ ὡc ἀνεγνώcθη εἶπεν· Βαρεῖα μὲν ἡ αἴτηcιc, βαρυτέρα δὲ καὶ ἡ παραίτηcιc, ἐπειδὴ καὶ πρώτη ἐcτὶν ἡ κέλευcιc τοῦ ἡμετέρου υἱοῦ. λέγει δὲ αὐτῷ ἡ δέcποινα· Οὐ μόνον πρώτη κέλευcιc, ἀλλὰ καὶ ἐν τούτῳ τῷ ἁγίῳ προcχήματι, καὶ χάριν εὐcεβείαc ἡ ἱκεcία καὶ ὑπὸ ὁcίων ἀνδρῶν αἰτηθεῖcα. μόγιc δὲ ὁ βαcιλεὺc ἐπένευcεν, τῆc δεcποίνηc πολλὰ ἐπιτιθεμένηc αὐτῷ. ταῦτα πάντα ἀνήγγειλεν ἡμῖν ὁ θεοφιλὴc Ἀμάντιοc.

τῇ δὲ ἑξῆc ἡμέρᾳ μεταπέμπεται ἡμᾶc ἡ βαcίλιccα 50
καὶ κατὰ τὸ ἔθοc προαcπαcαμένη τοὺc ὁcίουc ἐπιcκόπουc ἐκέλευcεν καθίcαι καὶ λέγει αὐτοῖc· Εὐχαῖc ὑμετέραιc ἐνέβαλέν μοι ὁ θεὸc τὸ καθ᾽ ὑμᾶc πρᾶγμα καὶ cυνεργείᾳ αὐτοῦ γέγονεν, ἐθεάcαcθε δὲ ποίᾳ μεθόδῳ ἐχρηcάμην. ἀλλ᾽ εἰ δοκεῖ τῇ ἑξῆc μεταπέμπομαι τὸν κυαίcτορα καὶ ἐπ᾽ ὄψεcιν ὑμῶν ἐπιτρέπω αὐτῷ ἵνα κατὰ τὴν δύναμιν τῆc ἱκεcίαc ὑμῶν ποιηθῇ θεῖον γράμμα ἐξ ὀνόματοc τῶν δύο βαcιλέων, καὶ ἁπλῶc εἰπεῖν πάντα ὅcα δᾶν εἴπητε αὐτῷ ποιήcει. οἱ δὲ ἐπίcκοποι καὶ τούτων ἀκούcαντεc πολλὰ ηὐλόγηcαν αὐτὴν καὶ τὸν υἱὸν αὐτῆc καὶ τὸν βαcιλέα, καὶ διαλεχθέντεc ἄλλα πολλὰ ψυχωφελῆ cυνταξάμενοι ἐξῆλθον. τῇ δὲ ἑξῆc μετεπέμ-

2 τί: τῇ B 4 βαρέα BV corr. Ha 5 βαρυτέρα . . . παραίτηcιc om. B ἐπει[δ]ὴ c. ras. V 7 πρῶτον V f. ⟨ἡ⟩ κέλευcιc 8 τοῦτο B ἡ ἱκ.: ἡ om. B 9 [ὑ]πὸ c. ras. V αἰτιθεῖcα BV corr. V^2 11 θεοφιλεῖc B 16 cυνεργία v ἐθεάcαcθαι B 18 κυέcτορα B κοιαίcτοραν V -ωραν V^2 19 δύναμην B 21 εἴπηται B ἔπηται V ποιήcη V 22 τοῦτο Eb 24 ψυχοφελεῖ B ψυχοφελῆ V corr. V^2

ψατο τὸν κυαίστορα καὶ ἡμᾶς, λέγει δὲ αὐτῷ· Λάβε τὸν χάρτην τοῦτον καὶ κατὰ τὴν δύναμιν αὐτοῦ διατύπωσον θεῖον γράμμα. ὁ δὲ κυαίστωρ δεξάμενος τὸν χάρτην μετὰ σπουδῆς ὑπηγόρευσεν τὸ θεῖον γράμμα παρόντων ἡμῶν. ὑπεβάλομεν δὲ αὐτῷ ἀφορίσαι δοῦκας καὶ ὑπατικοὺς εἰς ἄμυναν καὶ τὰ τούτων τάγματα. ὡς δὲ ἐτελειώθη τὸ θεῖον γράμμα καὶ ὑπεγράφη, παρεκαλέσαμεν τὴν δέσποιναν ἵνα ἐγχειρισθῇ τὴν χρείαν ἀνὴρ τῶν περιφανῶν. ἐπέτρεψεν δὲ Ἀμαντίῳ ζητῆσαι ἄνδρα Ζη-
51 λωτὴν Χριστιανὸν τὸν ὀφείλοντα | ἐγχειρισθῆναι. πολλοὶ γὰρ τῶν ἐν ἀξίαις προσποιήτως εἶχον τὴν πίστιν, οὓς μετῆλθεν ἡ θεία δίκη· μαθόντες γὰρ οἱ βασιλεῖς ὅτι οὐκ ὀρθῶς ἔχουσιν περὶ τὴν ἄχραντον πίστιν, περιεῖλον αὐτοὺς τῶν ἀξιωμάτων καὶ ἐζημίωσαν σώματι καὶ χρήματι· ταῦτα δὲ πρὸ τούτου ἐπράχθη. ὅθεν ἐπέτρεψεν ἡ αὐγούστα ὀρθόδοξον ἄνδρα ἐγχειρισθῆναι τὴν καθ᾽ ἡμᾶς χρείαν. ἐνεχειρίσθη δὲ Κυνήγιος οὕτω καλούμενος τοῦ κωνσιστωρίου, ἀνὴρ θαυμάσιος καὶ ζέων περὶ τὴν πίστιν. προσκαλεσαμένη δὲ αὐτὸν ἡ αὐγούστα παρήγγειλεν αὐτῷ πάντα τὰ εἰδωλεῖα ἕως ἐδάφους καταστρέψαι καὶ πυρὶ παραδοῦναι. ἐχαρίσατο δὲ αὐτῷ καὶ ἀπὸ χειρὸς χρήματα εἰποῦσα· Λάβε εἰς δαπάνας, καὶ μηδὲν λάβῃς παρὰ τῶν ὁσιωτάτων ἐπισκόπων. δεξάμενος δὲ τὰς τοιαύτας ἐντολὰς παρὰ τῆς δεσποίνης ἐξῆλθεν γενόμενος προθυμότερος.

52 διατρίψαντες δὲ τὸ ὑπόλοιπον τοῦ χειμῶνος καὶ

1 κυέστορα B κοιαίστορα V -ωραν V² 2 διατύποσον B 3 κυέστορ B κοιαίστωρ V 5 ὑπεβάλωμεν V corr. v 6 πράγματα BV cf. 52, 8. 23 10 χριστιανῶν B 17 χρίαν B 18 κωνστητουρίου BV corr. Ha 20 εἴδωλα BV corr. Ha 26 ὑπόλυπον B χειμόνος B

ποιήcαντεc τὰc ἁγίαc ἡμέραc τῆc παcχαλίαc καὶ τὴν ἀναcτάcιμον εὐτρεπιζόμεθα ἐκπλεῦcαι. παρεκαλέcαμεν δὲ τὸν θαυμάcιον Ἀμάντιον μηνῦcαι ἡμᾶc πρὸc τὴν δέcποιναν ἵνα cυνταξώμεθα αὐτῇ. ὃ δὲ ἀκούcαc ἐλυπήθη διὰ τὸ ἡμᾶc μέλλειν ἐκπλεῖν· τοcοῦτον γὰρ ἡμᾶc ἠγάπηcεν ὡc αὐτὸν παρακαλέcαι τὴν δέcποιναν ἀπολῦcαι αὐτὸν ὡc χάριν τοῦ εὔξαcθαι εἰc τοὺc ἁγίουc καὶ cεβαcμίουc τόπουc. ἐφοβήθη δὲ ἡ δέcποινα ἀπολῦcαι αὐτόν, ἵνα μὴ κατερχόμενοc μονάcῃ καὶ ἀπομείνῃ ἐκεῖ· ἠπίcτατο γὰρ τὸν βίον τοῦ ἀνδρόc. ἦν γὰρ κατὰ ἀλήθειαν ἄμεμπτοc, πολλὰc ἐλεημοcύναc παρέχων καὶ διὰ παντὸc νηcτεύων καὶ ξενοδοχῶν πολλοὺc καὶ cυντρέχων εἰc τὰc εὐcεβεῖc χρείαc. τοcαῦτα μὲν περὶ τοῦ θεοφιλοῦc Ἀμαντίου. ἐμήνυcεν δὲ ἡμᾶc πρὸc τὴν δέcποιναν καὶ εἰcήλθομεν πρὸc αὐτήν, καὶ λέγει τοῖc ὁcιωτάτοιc ἐπιcκόποιc· Πότε cὺν θεῷ πλέετε; οἳ δὲ εἶπαν· Διὰ τοῦτο εἰcήλθομεν, cυντάξαcθαι τῷ ὑμετέρῳ κράτει. ἣ δὲ εἶπεν· Διὰ παντὸc μνημονεύcατέ μου καὶ τοῦ ἐμοῦ τέκνου. εὐθέωc δὲ ἐκέλευcεν χρήματα ἐνεχθῆναι καὶ 53
ἐνεχθέντων εἶπεν τῷ κυρίῳ μου τῷ ἐπιcκόπῳ Πορφυρίῳ· Λάβε, πάτερ, ταῦτα δύο κεντηνάρια καὶ κτίcον ἣν cυνεταξάμην κτίζειν ἁγίαν ἐκκληcίαν ἐν μέcῳ Γάζηc, καὶ δήλωcόν μοι ἐὰν ἔτι δεηθῇc χρημάτων, καὶ εὐθέωc ἀποcτέλλω. κτίcον δὲ καὶ ξενῶνα, ἵνα ὑποδέχῃ τοὺc ἀδελ-

2 ε[ὐ]τρεπιζόμεθα c. ras. V ἐ[κ]πλεῦcαι c. ras. V 4 cυνταξόμεθα B 10 τοῦ bis, alterum del. B 13 χρίαc B 15 εἰcήλθωμεν B rad. corr. V 16 πλέεται B εἶπον v 17 εἰcήλθωμεν BV corr. v cυντάξαcθε V corr. v ἣ: εἶ B 21 λάβε πρεc B λάβετε π. V corr. Ha κεντινάρια BV corr. v 23 με BV corr. v δεηθεὶc V corr. v ἀποcτέλω B 24 ἀποδέχη B

φοὺς τοὺς ἐνδημοῦντας τῇ πόλει τῇ cῇ καὶ χορηγῆς αὐτοῖς ἐπὶ τρεῖς ἡμέρας ἀναλώματα. δέδωκεν δὲ καὶ τῷ ὁσιωτάτῳ Ἰωάννῃ χρυσοῦς χιλίους καὶ τίμια σκεύη ἀμφοτέροις, εἰς δὲ ἀναλώματα δέδωκεν αὐτοῖς ἀνὰ ἑκατὸν χρυσοῦς. ἤνυσεν δὲ καὶ ὁ προειρημένος ὁσιώτατος Ἰωάννης ὁ | ἐπίσκοπος Καισαρείας ὅσα ἠβουλήθη προνόμια εἰς λόγον τῆς αὐτοῦ ἐκκλησίας. καὶ ποιήσαντες εὐχὴν καὶ πολλὰ εὐλογήσαντες τήν τε δέσποιναν καὶ
54 τὸν υἱὸν αὐτῆς καὶ τὸν βασιλέα ἐξῆλθον. παρεκάλεσαν δὲ καὶ πρὸς τὸν βασιλέα εἰσελθεῖν· ὁ δὲ βασιλεὺς ἐπηρώτα αὐτοὺς εἰ τελείως ἀπηλλάγησαν καὶ εἰ ἐχαρίσατο αὐτοῖς τινα ἡ αὐγούστα, αὐτοὶ δὲ εἶπαν ὅτι Τελείως ἀπηλλάγημεν, σῳζομένης τῆς εὐσεβείας ὑμῶν καὶ τῆς θεοφιλεστάτης ὑμῶν συμβίου καὶ τοῦ θεοφυλάκτου ὑμῶν τέκνου, καὶ πολλὰ καὶ μεγάλα ἐστὶν τὰ χαρισθέντα ἡμῖν. εὐθέως δὲ καὶ ὁ βασιλεὺς ἐκέλευσεν τοῖς ἐπάρχοις ληγατεῦσαι αὐτοῖς ἀπὸ δημοσίων Παλαιστίνης ἀνὰ χρυσοῦ λίτρας κ̄. δέδωκεν δὲ καὶ αὐτὸς εἰς λόγον δαπανημάτων ἀνὰ δράκα μίαν, ἅπερ ηὑρέθη ἀνὰ νομισμάτων πεντήκοντα. πολλὰ δὲ καὶ αὐτὸν εὐλογήσαντες ἐξῆλθον. ἐποιήσαμεν δὲ ἐν τῇ πόλει ἄλλας ἡμέρας τρεῖς ἕως οὗ ἐλάβομεν τὴν ληγατιῶνα τῶν τεσσαράκοντα λιτρῶν, καὶ μετὰ τρεῖς ἡμέρας ἐμβαλόμενοι ἐπλεύσαμεν τῇ κατὰ Γαζαίους Ξανθικοῦ τρίτῃ καὶ εἰκάδι, κατὰ δὲ Ῥωμαίους Ἀπριλλίου ὀκτωκαιδεκάτῃ. ὁ δὲ λαμπρό-

1 χωρηγῆς B 11 ἐχαρήσατο B 12 αὐτούς B εἶπον v 13 σωζωμένης B 15 χαρισθὲν V corr. v 17 λιγατεῦσαι BV corr. v δημωσίων B 18 χρυσοὺς B λόγων B 19 δράκαν BV corr. Ha εὐρέθη B 22 ἐλάβ[ο]μεν c. ras. V λιγατιῶνα BV corr. V² 24 ξανθηκοῦ B 25 ἀπριλίω B ἀπριλλίω V corr. Ha

τατος Κυνήγιος μεθ' ἡμᾶς ἐξῆλθεν, χρηςάμενος τῷ δημοςίῳ δρόμῳ.

ἐφθάςαμεν δὲ τὴν Ῥόδον δι' ἡμερῶν ε̄. ἐγένετο δὲ 55
ἡμῖν ςπουδὴ ἀπελθεῖν πρὸς τὸν ἐν ἁγίοις Προκόπιον
τὸν ἀναχωρητήν, καὶ πολλὰ παρακαλεςάντων ἡμῶν τὸν
ναύκληρον ἐνδοῦναι ἡμῖν ὥρας τρεῖς, οὐκ ἐνδέδωκεν
λέγων ὅτι Τοιοῦτον ἄνεμον οὐκ ἔχω εὑρεῖν ἐπιτήδειον. ἡμεῖς δὲ αὐτῷ ἐλέγομεν ὅτι Δύνανται αἱ εὐχαὶ
τοῦ ἁγίου ἀνδρὸς καὶ ςῷςαι ἡμᾶς καὶ ἄνεμον ἐπιτήδειον
δοῦναι ἡμῖν. ὁ δὲ ναύκληρος ἐςκληρύνετο καὶ οὐκ ἐδέχετο ἡμῶν τὴν αἴτηςιν, ἀλλ' ὑδρευςάμενοι ἀνήχθημεν.
ἐλυπούμεθα δὲ ςφόδρα ἀποτυχόντες τοιαύτης ςυντυχίας.
ἐδεόμεθα οὖν αὐτοῦ διὰ προςευχῆς ςυγγνῶναι ἡμῖν καὶ
εὔξαςθαι ὑπὲρ ἡμῶν, ἵνα ςωθῶμεν καὶ τελειώςωμεν τὸ
ἔργον ὃ ἐνεχειρίςθημεν. πλεύςαντες δὲ ἐκ τῆς Ῥόδου 56
καὶ εὐπλοήςαντες ἐπὶ ἡμέρας δύο εὐδίας οὔςης, ἄφνω
κινεῖται χειμών, ἄνεμοί τε καὶ ἀςτραπαὶ καὶ βρονταὶ καὶ
τρικυμίαι, καὶ ἐκορυφοῦτο τὰ κύματα καὶ ἐγίνετο ὡς ὄρη
ὑψηλὰ καὶ ὑψοῦτο τὸ πλοῖον ὡς ἡμᾶς νομίζειν φθάνειν
τὰ νέφη. ἦςαν δὲ κραυγαὶ καὶ δάκρυα καὶ δεήςεις πρὸς
τὸν θεόν, ἐπεκαλούμεθα δὲ καὶ τὰς εὐχὰς τοῦ ὁςίου
Προκοπίου τοῦ ἀναχωρητοῦ. καὶ γενομένης ἑςπέρας καὶ
τοῦ χειμῶνος μὴ κοπάςαντος ἄγρυπνοι διεμείναμεν πᾶςαν τὴν νύκτα ἐκείνην. περὶ δὲ τὸν ὄρθρον ἐκ τῆς

5 ἀναχωριτήν B 7 ἐπιτήδιον V corr. V² 9 ἐπιτήδιον BV corr. V²v 11 αἴτιςιν B 13 ςυγνῶναι B 14 τελειώςομεν V 15 ἐγχειρίςθημεν V 16 ἐκπλωήςαντες B εὐδοκίας B 17 exspectes tale χειμών, ⟨καὶ ἄρχονται⟩ cf. 19, 2 20 δεήςις B δέηςις V 21 ἐπικαλούμεθα V corr. V² τοῦ ἀν. τ. ὁ. Π. BV cf. 32, 2. 37, 21. 38, 15. 47, 4. 48, 3 22 ἀναχωριτοῦ B 23 χειμόνος B 24 νύκταν B rad. corr. V

πολλῆς θλίψεως μικρὸν ὕπνωσαν οἱ ὁσιώτατοι ἐπίσκοποι, καὶ ὁρᾷ κατὰ τοὺς ὕπνους ὁ ἐμὸς κύριος Πορφύριος τὸν ἐν ἁγίοις Προκόπιον | τὸν ἀναχωρητὴν λέγοντα αὐτοῖς· Τὸν ναύκληρον κατηχήσατε καὶ ἀνασφραγίσατε (ἔστιν γὰρ τῆς Ἀρείου μυσαρᾶς αἱρέσεως) καὶ παρασκευάσατε αὐτὸν ἀναθεματίσαι Ἄρειον καὶ τὴν κακοπιστίαν αὐτοῦ, καὶ εὐθέως παύεται ὁ τοσοῦτος κλύδων. διὰ γὰρ τὸ εἶναι αὐτὸν τῆς εἰρημένης αἱρέσεως οὐ συνεχώρησεν ὑμῖν παραγενέσθαι πρός με. ὅμως γε κατηχήσατε αὐτόν· δέ-
57 ξασθαι γὰρ ἔχει παρ' ὑμῶν τὸν ὀρθὸν λόγον. ταῦτα ἀκούσας ὁ ἡμέτερος ὅσιος Πορφύριος διυπνίσθη, καὶ προσκαλεσάμενος ἡμᾶς διηγήσατο τὰ ἐν τῷ ὕπνῳ. εὐθέως δὲ καλέσαντες τὸν ναύκληρον εἴπαμεν αὐτῷ· Θέλεις σωθῆναί σου τὸ πλοῖον καὶ πάντας ἡμᾶς καὶ πρό γε πάντων τὴν ἑαυτοῦ ψυχήν; ὁ δέ φησιν· Εἰς τοῦτο οὐκ ἔστιν ἐρωτῆσαι. εἶπαν δὲ αὐτῷ οἱ ἐπίσκοποι· Ἄρνησαι τὴν κακοπιστίαν σου καὶ πίστευσον εἰς τὴν ὀρθὴν πίστιν, καὶ σῴζῃ σὺ καὶ τὸ πλοῖον καὶ πάντες ἡμεῖς. λέγει αὐτοῖς ὁ ναύκληρος· Ἐπειδὴ ὁρῶ ὑμᾶς ἔχοντας πρόγνωσιν (κατελάβετε γὰρ τὰ ἐν τῇ καρδίᾳ μου τινὸς μὴ ἀπαγγείλαντος ὑμῖν), ἰδοὺ λέγω ὑμῖν· πιστεύω ὡς πιστεύετε καὶ ἀρνοῦμαι τὴν αἵρεσιν Ἀρείου καὶ αὐτὸν Ἄρειον. παρακαλῶ δὲ ὑμᾶς κατὰ σχολὴν φωταγωγῆσαί με ἐκ τῶν ἁγίων γραφῶν εἰς τὴν ὀρθὴν πίστιν. οἱ δὲ ὅσιοι ἐπίσκοποι λαβόντες ἀνεσφράγισαν αὐτόν, ποιήσαντες ἐπ' αὐτῷ εὐχήν, μετέδωκαν δὲ αὐτῷ καὶ ἐκ τῶν θείων μυστη-

4 κατηχήσαται B ἀνασφραγίσαται B 6 ἀναθηματῆσαι BV corr. Ha ἄριον B 7 κλύδον V corr. V² 8 [ὑ]μῖν c. ras. V ἡμῖν B 9 δέξασθε B 13 εἴπ[ο]μεν c. ras. V 16 εἶπ[ο]ν c. ras. V 20 κατελάβεται B 21 [ὑ]μῖν c. ras. V πιστεύεται BV corr. v 25 ἀνει φράγησαν B

ρίων. ἐν τούτῳ δὲ καὶ ὁ κλύδων ἐπαύσατο καὶ πρὸς
ἑσπέραν ἐτράπη ὁ ἄνεμος, καὶ ἐπλέομεν ἐπιτηδείως, καὶ
ποιήσαντες ἐν τῷ πελάγει ἄλλας ἡμέρας τέσσαρας τῇ
πέμπτῃ ὄρθρου κατεπλεύσαμεν εἰς τὸ παράλιον μέρος
τῆς Γαζαίων, ὃ καλοῦσιν Μαϊουμᾶν.
ὡς δὲ ἀπέβημεν, γνόντες οἱ ἐκεῖσε Χριστιανοὶ 58
ἐδέξαντο ἡμᾶς μετὰ ψαλμῳδίας, ὁμοίως δὲ καὶ ⟨οἱ⟩ ἀπὸ
τῆς πόλεως ὡς ἤκουσαν ὑπήντησαν ἡμῖν ἔχοντες τὸ
σημεῖον τοῦ τιμίου σταυροῦ καὶ αὐτοὶ ψάλλοντες. συνε-
μίγησαν δὲ οἱ τῶν δύο τόπων καὶ ἐγένοντο οὐκ ὀλίγος
λαός· πλείους γὰρ ἦσαν οἱ ἀπὸ τῆς παραλίου διὰ τὸ
πολλοὺς ἔχειν Αἰγυπτίους ἐμπόρους οἴνων. οἱ δὲ τῆς
εἰδωλομανίας ὁρῶντες τὰ γινόμενα ἐπρίοντο, οὐδὲν δὲ
ἐτόλμων ποιῆσαι, ἐπειδὴ ἤκουσαν πόσην τιμὴν εἶχον οἱ
ὁσιώτατοι ἐπίσκοποι παρὰ τῶν βασιλέων καὶ ὅτι τὰ
εἴδωλα ἤμελλον καταστρέφεσθαι, καὶ ἦσαν ἐν πολλῇ
φροντίδι καὶ ἀθυμίᾳ. ὡς δὲ εἰσήλθομεν εἰς τὴν πόλιν 59
περὶ τὸ καλούμενον τετράμφοδον, στήλη ἵστατο ἀπὸ
μαρμάρου ἣν ἔλεγον εἶναι Ἀφροδίτης· ἦν δὲ ἐπάνω
βωμοῦ λιθίνου, ὑπῆρχεν | δὲ τὸ ἐκτύπωμα τῆς στήλης
γυναικὸς γυμνῆς ἐχούσης ὅλα τὰ ἄσχημα αὐτῆς φαινό-
μενα. ἐτίμων δὲ τὴν στήλην πάντες οἱ ἀπὸ τῆς πόλεως,
μάλιστα αἱ γυναῖκες λύχνους ἅπτουσαι καὶ λίβανον θυ-

2 ἐπλέωμεν BV corr. V² ἐπιτηδείος B ἐπιτηδίως V corr. V² 3 πελάγη B 4 ὄρθου V 5 τῶν Γαζαίων BV cf. 2, 22
6 γνῶντες BV corr. v 7 οἱ add. Ha 9 τοῦ στ. τοῦ τιμίου V ψάλοντες B συνεμήγησαν B 11 παραλείου B 14 ἐτόλμον V corr. V² πόσιν B πόσην ex πόσιν V εἶχων B
16 εἰδωλεῖα Ha εἴμελλον V corr. v 17 εἰσήλθωμεν B
18 στίλη BV corr. v 19 ἦν: καὶ V 20 βομοῦ B ἐκτύπομα B στίλης BV corr. v 22 στίλην BV corr. v
23 θυμιοῦσαι B

μιῶϲαι. ἐφήμιζον γὰρ περὶ αὐτῆϲ ὅτι χρηματίζει κατ᾽
ὄναρ ταῖϲ βουλομέναιϲ προϲομιλῆϲαι γάμῳ, ἠπάτων δὲ
ἀλλήλαϲ ψευδόμεναι. ἐπιτραπέντεϲ δὲ παρὰ τοῦ δαί-
μονοϲ πολλάκιϲ χάριν ϲυναλλαγῆϲ γάμου τοϲοῦτον ἀπέ-
τυχον ὥϲτε καὶ εἰϲ διαζύγια αὐτοὺϲ ἐλθεῖν ἢ κακῶϲ
ϲυνοικῆϲαι. ταῦτα δὲ ἔγνωμεν ἐκ τῶν ἀποϲτραφέντων
60 τὴν πλάνην καὶ ἐπιγνόντων τὴν ἀλήθειαν· ἀλλὰ καί
τινεϲ τῶν εἰδωλολατρῶν, μὴ φέροντεϲ τὰϲ ϲυμφορὰϲ
τῶν χαλεπῶν ϲυνοικεϲίων ὧν ἐπετράπηϲαν κατὰ κέλευϲιν
τοῦ δαίμονοϲ τῆϲ Ἀφροδίτηϲ, ἀγανακτοῦντεϲ ἐξωμολο-
γήϲαντο τὴν ἀπάτην. καὶ γὰρ τοιοῦτοι τυγχάνουϲιν οἱ
δαίμονεϲ εἰϲ τὸ ἀπατᾶν καὶ μηδὲν ὅλωϲ ἀληθὲϲ λέγειν·
οὔτε γὰρ ἔνεϲτιν αὐτοῖϲ τὸ βέβαιον εἰδέναι, ἀλλ᾽ ἐξ
εἰκότων φαντάζειν τοὺϲ καταδεδουλωμένουϲ αὐτοῖϲ προϲ-
ποιοῦνται. πῶϲ γὰρ δύνανται ἀληθεύειν οἱ τῆϲ ἀλη-
θείαϲ ἐκπεπτωκότεϲ; εἰ δὲ καὶ ἐπιτύχωϲιν εἴϲ τινα μαν-
τευόμενοι, ἀπὸ ϲυμβάντοϲ τοῦτο γίνεται, ὥϲπερ καὶ ἐπὶ
τῶν ἀνθρώπων ϲυμβαίνει πολλάκιϲ τινὰ προειπεῖν ἕνεκεν
πράγματοϲ καὶ ἀπὸ ϲυμβάντοϲ γενέϲθαι. εἰϲ τὰϲ οὖν
ἐπιτυχίαϲ τὰϲ ϲπανίωϲ γινομέναϲ ἀπὸ ϲυμβάντοϲ θαυ-
μάζομεν, τὰϲ δὲ ἀποτυχίαϲ τὰϲ ϲυνεχῶϲ γινομέναϲ ϲιω-
πῶμεν. τοϲαῦτα μὲν περὶ δαιμόνων καὶ τῆϲ πλάνηϲ
61 αὐτῶν. ἐκπλευϲάντων δὲ ἡμῶν εἰϲ τὴν πόλιν, καθὼϲ
εἴρηται, ὡϲ ἐφθάϲαμεν τὸν τόπον ἐν ᾧ ὑπῆρχεν τὸ

1 εὐφήμιζον rad. corr. V 2 ἠπάτον V corr. V² 4 ϲυν-αλαγῆϲ B 7 ἐπιγνώντων B rad. corr. V 9 χαλαιπῶν B 10 ἐξομολογήϲαντο BV corr. V² 11 τοιοῦτον BV corr. Ha 13 ἐκεικότων BV f. ἐκ ⟨τοῦ ἐξ⟩ εἰ. vel ἐξ εἰ. φαντάζοντεϲ 14 βαϲτάζειν V ἐπ᾽ εἰκ. β. Ha 16 ἐκπεπτ[ο]κότεϲ c. ras. tres fere litt. cap. B 17 τούτου rad. corr. V 19 γενήϲεϲθαι BV corr. Eb 20 ἐπιτυχίαϲ ⟨οὖν⟩ Ha 21 ϲιωπόμεν B

εἰρημένον εἴδωλον τῆϲ Ἀφροδίτηϲ (ἐβάϲταζον δὲ Χριϲτιανοὶ τὸ τίμιον ξύλον τοῦ Χριϲτοῦ, τουτέϲτιν τὸν τύπον τοῦ ϲταυροῦ), ἑωρακὼϲ ὁ ἐνοικῶν δαίμων ἐν τῇ ϲτήλῃ, μὴ φέρων ἰδεῖν τὸ φερόμενον ϲημεῖον, ἐξελθὼν ἐκ τοῦ μαρμάρου μετὰ ἀταξίαϲ πολλῆϲ ἔρριψεν αὐτὴν τὴν ϲτήλην καὶ ϲυνέκλαϲεν αὐτὴν εἰϲ πολλὰ κλάϲματα. ἔτυχεν δὲ δύο ἄνδραϲ τῶν εἰδωλολατρῶν παρίϲταϲθαι τῷ βωμῷ ἐν ᾧ ἵϲτατο ἡ ϲτήλη, καὶ ϲυμπεϲοῦϲα τοῦ μὲν τὴν κεφαλὴν ἐδιχοτόμηϲεν, τοῦ δὲ τὸν ὦμον καὶ τὸν καρπὸν κατέκλαϲεν· ἵϲταντο γὰρ ἀμφότεροι μυκτηρίζοντεϲ τὸν ἅγιον λαόν. πολλοὶ δὲ τῶν Ἑλλήνων θεαϲάμενοι 62 τὸ ϲημεῖον τὸ γενόμενον ἐπίϲτευϲαν καὶ ϲυμμιγέντεϲ τοῖϲ λαϊκοῖϲ ϲυνειϲῆλθον αὐτοῖϲ εἰϲ τὴν ἁγίαν ἐκκληϲίαν τὴν ἐπώνυμον Εἰρήνην. ἐγένετο δὲ χαρὰ μεγάλη τοῖϲ Χριϲτιανοῖϲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ κατὰ τρεῖϲ τρόπουϲ· κατὰ πρώτην τάξιν ὅτι ἀπέλαβον τὸν ἱερέα ὑγιαίνοντα καὶ καταθυμίωϲ πράξαντα, κατὰ δὲ τὴν δευτέραν ὅτι ϲυνετρίβηϲαν οἱ θεοὶ τῶν ἐθνῶν καὶ | ἐγένοντο ὡϲεὶ κονιορτὸϲ διαϲκορπιζόμενοϲ ἀπὸ ἅλωνοϲ θερινῆϲ, ἀλλὰ καὶ οἱ ὅμοιοι αὐτῶν ϲυγκεκλαϲμένοι ἐγένοντο πεποιθότεϲ ἐπ' αὐτοῖϲ, κατὰ τὴν τρίτην δὲ τὴν μείζονα τῶν ἄλλων ὅτι καὶ ἐϲώθηϲαν ψυχαὶ πλανώμεναι καὶ προϲετέθηϲαν τῇ τοῦ Χριϲτοῦ ποίμνῃ. ϲφραγίϲαϲ δὲ αὐτοὺϲ ὁ ἐπίϲκοποϲ ἀπέλυϲεν μετ' εἰρήνηϲ, παραγγείλαϲ αὐτοῖϲ ϲχολάζειν ταῖϲ ἁγίαιϲ προϲευχαῖϲ. ἦϲαν δὲ τὸν

19 cf. Dan. 2, 35

3 ἑωρακὸϲ B 4 ϲτίλη B φερόμενων B 6 ϲτίλην B 7 παρίϲταϲθε BV corr. v 8 ϲτίλη B 12 ϲυμμηγέντεϲ B 14 ἐπόνοιμον B ἐπόνυμον V corr. V² 19 ἄλονοϲ BV corr. V² 21 πεποιθῶτεϲ B 22 πλανόμεναι BV corr. V²

ἀριθμὸν ἄνδρες τριάκοντα δύο καὶ γυναῖκες ἑπτά. ποιήσας δὲ ὁ ἀρχιεπίσκοπος Ἰωάννης ἄλλας δύο ἡμέρας ἐν τῇ Γάζῃ ἐξῆλθεν ἐπὶ Καισάρειαν, πάντων τῶν Χριστιανῶν καὶ τοῦ ὁσίου ἐπισκόπου ἀποκαταστησάντων αὐτὸν ἕως δύο μιλίων.

63 μετὰ δὲ δεκάτην ἡμέραν κατέλαβεν ὁ θαυμάσιος Κυνήγιος, ἔχων μεθ' ἑαυτοῦ τὸν ὑπατικὸν καὶ τὸν δοῦκα καὶ πολλὴν στρατιωτικὴν καὶ πολιτικὴν χεῖρα. προέγνωσαν δὲ πολλοὶ τῶν εἰδωλολατρῶν καὶ ἐξῆλθον τῆς πόλεως, οἳ μὲν εἰς κώμας, ἄλλοι δὲ εἰς ἑτέρας πόλεις· ἦσαν δὲ οἱ πλείους τῶν πλουσίων τῆς πόλεως. ἐμητάτευσεν δὲ τοὺς οἴκους τῶν φυγόντων ὁ εἰρημένος Κυνήγιος. τῇ δὲ ἑξῆς προσκαλεσάμενος τοὺς τῆς πόλεως παρόντων τοῦ τε δουκὸς καὶ τοῦ ὑπατικοῦ ἐνεφάνισεν αὐτοῖς τὰ βασιλικὰ γράμματα τὰ παρακελευόμενα ὥστε καταστραφῆναι τὰ εἴδωλα καὶ τὰ εἰδωλεῖα καὶ πυρὶ παραδοθῆναι. εὐθέως δὲ ἀκούσαντες οἱ εἰδωλολάτραι οἴμωξαν μεγάλῃ τῇ φωνῇ, ὥστε τοὺς ἄρχοντας ἀγανακτῆσαι καὶ μετὰ ἀπειλῆς ἐπιπέμψαι αὐτοῖς στρατιώτας τύπτοντας αὐτοὺς ῥάβδοις καὶ σκυτάλαις. οἱ δὲ Χριστιανοὶ μετὰ χαρᾶς μεγάλης ἀνευφήμουν τοὺς βασιλεῖς
64 καὶ τοὺς ἄρχοντας. εὐθέως δὲ ὥρμησαν μετὰ τῶν ἀρχόντων καὶ τῶν ταγμάτων καὶ κατέστρεψαν τὰ εἰδωλεῖα Γάζης. ἦσαν δὲ ἐν τῇ πόλει ναοὶ εἰδώλων δημόσιοι ὀκτώ, τοῦ τε Ἡλίου καὶ τῆς Ἀφροδίτης καὶ τοῦ Ἀπόλ-

3 γάζει B 5 μηλίων B 11 ἐμιτάτευσεν V 'fecit militum metata id est domicilia' Ha 14 ἐνεφάνησεν V corr. V^2 15 βασιλεικὰ B 16 εἰδωλία BV corr. V^2 17 παραδωθῆναι B 19 ἀπιλῆς B 20 αὐτοῖς V corr. V^2 22 ὅρμησαν B 23 εἰδωλία BV corr. V^2 24 Γάζης: om. V

λωνος καὶ τῆς Κόρης καὶ τῆς Ἑκάτης καὶ τὸ λεγόμενον Ἡρωεῖον καὶ τῆς Τύχης τῆς πόλεως, ὃ ἐκάλουν Τυχαῖον, καὶ τὸ Μαρνεῖον, ὃ ἔλεγον εἶναι τοῦ Κρηταγενοῦς Διός, ὃ ἐνόμιζον εἶναι ἐνδοξότερον πάντων τῶν ἱερῶν τῶν ἁπανταχοῦ. ἦσαν δὲ καὶ ἄλλα πλεῖστα εἴδωλα ἐν ταῖς οἰκίαις καὶ ἐν ταῖς κώμαις, ἅτινα οὐδεὶς ἠδύνατο καθυποβαλεῖν ἀριθμῷ· οἱ γὰρ δαίμονες δραξάμενοι | τῆς προαιρέσεως τῶν Γαζαίων, ὡς εἰσὶν εὐμετάγωγοι, ἐπλήρωσαν τῆς πλάνης πᾶσαν αὐτῶν τὴν πόλιν καὶ περιοικίδα. τοῦτο δὲ ὑπομένουσιν ἀπὸ πολλῆς ἁπλότητος. διὸ μεταφερόμενοι εἰς τὴν ἁγίαν πίστιν Χριστιανοὶ Ζηλωταὶ γίνονται. τοσαῦτα μὲν περὶ τῶν Γαζαίων. ἐπιτραπέντες 65
οὖν οἱ στρατιῶται μετὰ τῶν Χριστιανῶν τῆς πόλεως καὶ τοῦ θαλαττίου αὐτῆς μέρους ὥρμησαν ἐπὶ τὰ εἴδωλα καὶ πρῶτον βουληθέντες καταστρέψαι [τὰ εἴδωλα καὶ] τὸ Μαρνεῖον ἀνεκρούσθησαν· οἱ γὰρ ἱερεῖς τοῦ εἰδώλου ἐκείνου προακούσαντες ἔσωθεν τὰς θύρας τοῦ ἐνδοτέρου ναοῦ λίθοις μεγάλοις προέφραξαν καὶ καταγαγόντες εἰς τὰ λεγόμενα ἄδυτα ὅσα ἦν τῷ ἱερῷ τίμια σκεύη, ἔτι δὲ καὶ αὐτὰ τὰ ζῴδια τῶν θεῶν αὐτῶν ἐκεῖ ἔκρυψαν καὶ διὰ τῶν αὐτῶν ἀδύτων ἔφυγον δι' ἄλλων ἀνόδων· ἔλεγον γὰρ τὰ εἰρημένα ἄδυτα ἔχειν πολλὰς ἀνόδους εἰς διαφόρους τόπους. ἀνακρουσθέντες οὖν, καθὼς προεῖπον, ἐτράπησαν ἐπὶ τὰ ἄλλα εἰδωλεῖα καὶ τὰ μὲν κατέστρεψαν, τὰ δὲ πυρὶ παρέδωκαν, ἁρπάσαντες

2 ἡροῖον P ἱερωΐων BV καὶ⟨τὸ⟩τῆς T. Ha τύχαιον BP τύχεον V 3 μαρνίον BV corr. Ha ἔλεγων B κρητὰ γένους P κρίτα γένους BV corr. Henschen cl. Steph. Byz. p. 194. 454 M διῶς B 6 οἰκείαις BV corr. v 14 εἰδωλεῖα Ha 16 μαρνίον BV semper fere, corr. Ha 19 [ἦ]ν c. ras. V f. ⟨ἐν⟩ τῷ 21 διά: ἐκ Us ἔφυγων B 24 εἴδωλα BV corr. Ha

πάντα τὰ ἐν αὐτοῖς σκεύη τίμια. ἦν δὲ ὁ ἐν ἁγίοις Πορφύριος ἀναθεματίσας ἐν τῇ ἐκκλησίᾳ πάντα Χριστιανὸν πολίτην λαμβάνοντά τί ποτε ἐκ τῶν εἰδωλείων εἰς ἴδιον κέρδος· οὐδεὶς οὖν τῶν πολιτῶν πιστῶν ἐλάμβανεν οὐδέν, εἰ μὴ οἱ στρατιῶται καὶ οἱ παρεπίδημοι ἐκεῖσε εὑρεθέντες. περιῆγον οὖν μετὰ τῶν λαϊκῶν ἄνδρες εὐλαβεῖς τοῦ κλήρου καὶ αὐτὸς ὁ ὅσιος ἐπίσκοπος Πορφύριος ἀνακόπτοντες αὐτοὺς μηδὲν σφετερίσασθαι.

66 ἐποίησαν δὲ ἡμέρας δέκα καταστρέφοντες τοὺς ναοὺς τῶν εἰδώλων, μετὰ δὲ τὰς εἰρημένας ἡμέρας ἐβουλεύσαντο καὶ περὶ τοῦ Μαρνείου πῶς αὐτῷ χρήσονται. οἳ μὲν γὰρ ἔλεγον κατασκαφῆναι αὐτό, ἄλλοι δὲ κατακαῆναι, ἄλλοι δὲ καθαρισθῆναι τὸν τόπον καὶ ἁγιασθῆναι εἰς ἐκκλησίαν θεοῦ, καὶ ἦν πολλὴ περὶ τούτου ἡ σκέψις. τέλος δὲ ὁ ἐν ἁγίοις ἐπίσκοπος κηρύσσει νηστείαν τῷ λαῷ καὶ δέησιν, ἵνα ἀποκαλύψῃ αὐτοῖς ὁ κύριος πῶς δεῖ αὐτοὺς χρήσασθαι, καὶ νηστεύσαντες ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ δεηθέντες τοῦ θεοῦ περὶ τούτου ἑσπέρας ἐπετέλεσαν τὴν ἁγίαν σύναξιν. τῆς δὲ συνάξεως ἐπιτελουμένης παιδίον ὡς ἑπτὰ ἐνιαυτῶν ἱστάμενον μετὰ τῆς ἰδίας μητρὸς ἄφνω ἀνέκραξεν λέγον· Καύσατε τὸν ναὸν τὸν ἔνδον ἕως ἐδάφους· πολλὰ γὰρ δεινὰ γέγονεν ἐν αὐτῷ, μάλιστα αἱ ἀνθρώπων θυσίαι. τοιούτῳ δὲ τρόπῳ καύσατε αὐτόν. ἀγάγετε ὑγρὰν πίσσαν ⟨καὶ⟩ θεῖον καὶ στέαρ χοίρειον καὶ μίξατε τὰ τρία καὶ χρίσατε τὰς χαλ-

2 ἀναθεματήσας B χριστιανῶν B 3 εἰδωλίων B V corr. V² 4 'f. τῶν πολιτῶν τῶν π.' Ha at cf. 12, 10 ἐλάμβανον B 12 αὐτῶ B rad. corr. V 16 ἀποκαλύψει B 17 αὐτῷ Eb 21 λέγων V καύσαται V corr. v 24 καύσαται V corr. v ἀγάγεται B V corr. Ha καὶ add. Ha 25 χύρεον B V corr. Ha μήξατε B μίξαται V corr. v χρήσατε B V corr. Ha χαλκᾶς om. B

κᾶς θύρας καὶ ἐπ᾽ αὐτὰς τὸ πῦρ ἐπιβάλετε, καὶ οὕτως πᾶς ὁ ναὸς καίεται· ἄλλως γὰρ οὐκ ἔστιν δυνατόν. τὸν δὲ ἐξώτερον ἐάσατε cὺν τῷ περιβόλῳ. καὶ μετὰ τὸ καῆναι καθάραντες τὸν τόπον | ἐκεῖ κτίσατε ἁγίαν ἐκκλησίαν. ἔλεγεν δὲ καὶ τοῦτο· Μαρτύρομαι ὑμῖν ἐνώπιον τοῦ θεοῦ, ἄλλως μὴ γένηται· οὔτε γὰρ ἐγώ εἰμι ὁ λαλῶν, ἀλλ᾽ ὁ Χριστὸς ὁ ἐν ἐμοί [λαλῶν]· ταῦτα δὲ ἔλεγεν τῇ Σύρων φωνῇ. ὡς δὲ ἤκουσαν πάντες ἐθαύμαζον καὶ ἐδόξαζον τὸν θεόν. ἦλθεν δὲ τὸ θαῦμα τοῦτο 67
καὶ εἰς τὰς τοῦ ὁσίου ἐπισκόπου ἀκοάς, καὶ ἀνατείνας τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν ἐδόξασεν τὸν θεὸν καὶ εἶπεν· Δόξα σοι, πάτερ ἅγιε, ὅτι ἀπέκρυψας ἀπὸ σοφῶν καὶ συνετῶν καὶ ταῦτα ἀπεκάλυψας νηπίοις. ἐπέτρεψεν δὲ τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ μετὰ τὴν ἀπόλυσιν τῆς ἐκκλησίας εὑρεθῆναι ἐν τῷ ἐπισκοπείῳ, καὶ ἀποχωρίσας τὸ παιδίον εἶπεν τῇ γυναικί· Ὁρκίζω σε κατὰ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ ζῶντος εἰπεῖν εἰ καθ᾽ ὑποβολὴν σὴν ἢ ἄλλου τινὸς γινωσκούσης σου αὐτὸν τὸ παιδίον τὸ σὸν ἐφθέγξατο ἐκεῖνα ἃ εἶπεν περὶ τοῦ Μαρνείου. ἡ δὲ γυνὴ εἶπεν· Παραδίδωμι ἐμαυτὴν τῷ φοβερῷ καὶ φρικτῷ βήματι τοῦ Χριστοῦ, εἰ προέγνων τί ποτε ὧν ἐφθέγξατο ὁ υἱός μου ἐν ταύτῃ τῇ ἡμέρᾳ. ἀλλ᾽ εἰ δοκεῖ σοι, ἰδοὺ τὸ παιδίον λαβὼν μετὰ ἀπειλῆς ἐξέτασον αὐτό, καὶ ἐὰν καθ᾽ ὑποβολήν τινος ταῦτα ἐλά-

12 cf. Matth. 11, 25

1 θύρας: πύλας V ἐπιβάλλεται B ἐπιβάλεται V corr. v 2 et 6 ἄλλος V corr. V² 6 γέν[η]ται c. ras. V 7 ὁ ante ἐν sscr. V λαλῶν del. Eb cl. 57, 4 13 ἀπεκάλυψας αὐτὰ V 15 ἐπισκοπίῳ BV corr. V² 16 ἀποχωρήσας B 17 το[ῦ υἱοῦ] τοῦ [θεοῦ] το[ῦ] c. ras. V 20 παραδίδομι B 23 ἀπιλῆς B 24 αὐτῷ B

ληcεν, φόβῳ ὁμολογεῖ, εἰ δὲ μηδὲν ἄλλο λαλήcει, δῆλόν ἐcτιν ὅτι ὑπὸ πνεύματος ἁγίου ἐνεπνεύcθη. ἀκούcαc δὲ ὁ ἐπίcκοποc τὸν λόγον τῆc γυναικὸc καὶ ἐπαινέcαc εἶπεν ἀποχωριcθῆναι αὐτὴν πρὸc βραχὺ καὶ τὸ παιδίον εἰcενεχθῆναι, καὶ cταθέντοc τοῦ παιδίου εἶπεν αὐτῷ· Τίc coι ὑπέβαλεν φθέγξαcθαι ἐν τῇ ἐκκληcίᾳ ἐκεῖνα ἃ ἐλάληcαc χάριν τοῦ Μαρνείου; τὸ δὲ παιδίον ἐcιώπα. ἐπέτρεψεν δὲ ὁ ὁcιώτατοc ἐπίcκοποc μάcτιγα ἐνεχθῆναι καὶ ἀναταθῆναι τὸ παιδίον πρὸc τὸ φοβηθῆναι αὐτό. ὁ δὲ τὴν μάcτιγα κατέχων μετὰ φωνῆc ἀνέκραξεν λέγων· Τίc coι εἶπεν λαλῆcαι; εἰπέ, ἵνα μὴ τῇ μάcτιγι πληγῇc. ὁ δὲ παῖc ἐνεὸc ἵcτατο μηδὲν φθεγγόμενοc. τότε ἡμεῖc οἱ περὶ αὐτὸν τὰ αὐτὰ αὐτῷ ἐλέγομεν μετὰ
68 ἀπειλῆc· ὃ δὲ ἦν ἀκίνητοc. τέλοc μετὰ τὸ παύcαcθαι πάνταc ἀνοίξαc τὸ cτόμα αὐτοῦ ὁ παῖc εἶπεν τῇ Ἑλληνικῇ διαλέκτῳ· Καύcατε τὸν ναὸν τὸν ἔνδον ἕωc ἐδάφουc· πολλὰ γὰρ δεινὰ γέγονεν ἐν αὐτῷ, μάλιcτα αἱ ἀνθρώπων θυcίαι. τοιούτῳ δὲ τρόπῳ καύcατε αὐτόν. ἀγάγετε ὑγρὰν πίccαν καὶ θεῖον καὶ cτέαρ χοίρειον καὶ μίξατε τὰ τρία καὶ χρίcατε τὰc χαλκᾶc θύραc καὶ ἐπ᾽ αὐτὰc πῦρ ἐπιβάλετε, καὶ οὕτωc ὁ ναὸc καίεται· ἄλλωc γὰρ οὐκ ἔcτιν δυνατὸν γενέcθαι. τὸν δὲ ἐξώτερον ἐάcατε cὺν τῷ περιβόλῳ. καὶ μετὰ τὸ καῆναι

5 αὐτὸ V 9 ἀνατεθῆναι B αὐτῶ B [α]ὐτῶ rad. corr. V 10 μετὰ φ. om. B μ. μεγάληc φ. ci. Eb at cf. acta Marinae p. 45, 3 Us 11 μάcτιγη B μάcτιγῆ V corr. Ha 12 ἐννεὸc B ἐννεῶc V ἐνεῶc Ha 13 ταὐτὰ V αὐτὸ V corr. V^2 15 ἐλινικὴ B 16 et 18 καύcαται V corr. v 19 ἀγάγεται B V corr. v πίccαν ὑγρὰν V χοίρεον B V corr. Ha 20 μήξατε B μίξαται V corr. v χρήcαται B χρίcαται V corr. v 21 ⟨τὸ⟩ πῦρ et ⟨πᾶc⟩ ὁ ναὸc ci. Eb cl. 55, 1. 58, 4 ἐπιβάλλεται B (λ) V corr. v 23 ἐξότερον V corr. V^2 ἐάcαται V corr. v καῖναι V corr. V^2

καθάραντες τὸν τόπον ἐκεῖ κτίσατε ἁγίαν ἐκκλησίαν. μαρτύρομαι ὑμῖν | πάλιν ἐνώπιον τοῦ θεοῦ, ἄλλως μὴ γένηται. οὐ γὰρ ἐγώ εἰμι ὁ λαλῶν, ἀλλ' ὁ Χριστὸς ὁ ἐν ἐμοί. ἐθαύμασεν δὲ ὁ ὁσιώτατος ἐπίσκοπος Πορφύριος καὶ πάντες οἱ σὺν αὐτῷ ἀκούσαντες τῆς παρρησίας τοῦ παιδὸς καὶ πῶς εὐδιαιρέτως ὡμίλησεν, προσκαλεσάμενος τὴν αὐτοῦ μητέρα ἐπηρώτησεν αὐτὴν εἰ ἠπίστατο αὐτὴ ἢ ὁ αὐτῆς υἱὸς τὴν Ἑλληνικὴν γλῶσσαν· ἡ δὲ διεβεβαιοῦτο ὅρκοις μηδὲ αὐτὴν μηδὲ τὸ αὐτῆς τέκνον εἰδέναι Ἑλληνιστί. ἀκούσας πάλιν ὁ ὁσιώτατος Πορφύριος ἐδόξασεν τὸν θεὸν καὶ ἀναγαγὼν τρία νομίσματα δέδωκεν τῇ γυναικί. ὁ δὲ παῖς θεασάμενος τὰ νομίσματα ἐν τῇ χειρὶ τῆς αὐτοῦ μητρὸς ἀνεβόησεν λέγων τῇ Συριακῇ γλώσσῃ· Μὴ λάβῃς, μῆτερ, μὴ καὶ σὺ πωλήσῃς τὴν δωρεὰν τοῦ θεοῦ χρυσίῳ. πάλιν δὲ ἀκούσαντες ὑπερεθαυμάσαμεν. ἡ δὲ γυνὴ ἀνέδωκεν τὰ τρία νομίσματα εἰποῦσα τῷ ἐπισκόπῳ· Εὖξαι ὑπὲρ ἐμοῦ καὶ τοῦ ἐμοῦ τέκνου καὶ παράθου ἡμᾶς τῷ θεῷ. ὁ δὲ ὅσιος ἐπίσκοπος ἀπέλυσεν αὐτοὺς μετ' εἰρήνης.

ὄρθρου δὲ συναγαγὼν τοὺς θεοσεβεῖς κληρικοὺς καὶ 69
τὸν φιλόχριστον λαόν, ἔτι δὲ καὶ τὸν θαυμάσιον Κυνήγιον καὶ τοὺς ἄρχοντας, εἶπεν αὐτοῖς πῶς ἀπεφθέγξατο τὸ παιδίον χάριν τοῦ Μαρνείου. ἀκούσαντες δὲ ἐθαύμασαν καὶ ὁμονοήσαντες εἶπαν ἵνα κατὰ τὸ ῥῆμα τοῦ

14 cf. Act. 8, 20

1 στήσατε Bv -ται V 3 ὁ ante ἐν om. V 6 ὁμίλησεν BV corr. V² ⟨καὶ⟩ προσκαλ. Ha 9 μήτε ... μήτε Ha αὐτὴ V corr. V² 10 ἑλληνιστὴ BV corr. v f. ἀκούσας ⟨δὲ⟩ 11 ἀναγαγὸν B 13 ἀνεβόησε V 14 συρακὴ V corr. V² γλώσσῃ ex φωνῇ V πολήσῃς B 15 θεοῦ: χριστοῦ V 24 εἶπον ex εἶπαν V

παιδὸς οὕτως καυθῇ. ἀγαγόντες οὖν τὴν ὑγρὰν πίσσαν καὶ τὸ θεῖον καὶ τὸ χοίρειον στέαρ καὶ μίξαντες τὰ τρία ἔχρισαν τὰς ἐνδοτέρας θύρας καὶ ποιήσαντες εὐχὴν προσῆψαν τὸ πῦρ, καὶ εὐθέως διέλαβεν πᾶς ὁ ναὸς καὶ ἐκαύθη. ὅσοι δὲ τῶν στρατιωτῶν καὶ ξένων ἠδύναντο διήρπαζον ἐκ τοῦ πυρὸς ἃ ηὕρισκον, εἴτε χρυσὸν εἴτε 70 ἄργυρον ἢ σίδηρον ἢ μόλιβδον. ἦν δὲ ἀνὴρ ἐκεῖσε τῶν ἐξάρχων τῶν στρατιωτῶν, ὃν τριβοῦνον καλοῦσιν, ἐφιστάμενος τῇ καύσει τοῦ ναοῦ· ἦν δὲ Χριστιανὸς κατὰ τὸ φαινόμενον, κατὰ δὲ τὸ ἄδηλον τοῖς πολλοῖς ἦν εἰδωλολάτρης. οὗτος [ὁ] παριστάμενος καὶ ὁρῶν τήν τε καῦσιν καὶ τὴν διαρπαγὴν τὴν ὑπὸ τῶν στρατιωτῶν ἐπρίετο καὶ προφάσει τῆς εὐταξίας αὐτῶν ἐμάστιζεν ἀφειδῶς ὃν ηὕρισκεν φέροντά τι τῶν σκύλων. τούτων γινομένων καὶ καταφθαρέντων τῶν τοίχων ἐκ τοῦ πυρὸς ἄφνω ξύλον καιόμενον ἐπιπίπτει τῷ τριβούνῳ καὶ διπλοῦν τὸν θάνατον ἐπάγει αὐτῷ· διαρρῆξαν γὰρ τὴν κεφαλὴν αὐτοῦ τὸ ὑπόλοιπον σῶμα ἔκαυσεν. καὶ εὐθέως οἵ τε πιστοὶ στρατιῶται καὶ οἱ τοῦ φιλοχρίστου λαοῦ γνόντες τὰ κατ᾽ αὐτόν, ὅτι ἐπιρρεπὴς ἦν πρὸς τὰ εἴδωλα, ἐδόξασαν τὸν θεὸν καὶ εἶπαν ἐκεῖνον τὸν ψαλμὸν τὸν λέγοντα· ʽτί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατὸς ἀνομίαν; ὅλην τὴν ἡμέραν ἀδικίαν | ἐλογίσατο ἡ γλῶσσά σου. ὡσεὶ ξυρὸν

22 Ps. 51, 3 ss.

1 οὗτος B 2 χοίρεον BV corr. Ha μήξαντες B 4 τῷ πυρί V 5 καὶ in ras. V 9 καύσῃ B 10 πολοῖς B 11 εἰδωλολάτρις B ὁ del. Eb οὖν ci. Us 12 τ[ὴ]ν ὑπὸ c. ras. V 13 ἀταξίας Ha at cf. 64, 10 14 ηὗρισκε V 15 τύχων B 17 διαρρίξαν B 18 ὑπόλυπον B 19 γνῶντες BV corr. v 20 αὐτῶν B ἐπιρεπὴς BV corr. Ha 21 εἶπον v 23 ἐλογήσατω B

ἠκονημένον ἐποίηcαc δόλον. ἠγάπηcαc κακίαν ὑπὲρ ἀγαθωcύνην, ἀδικίαν ὑπὲρ τὸ λαλῆcαι δικαιοcύνην. ἠγάπηcαc πάντα ῥήματα καταποντιcμοῦ, γλῶccαν δολίαν. διὰ τοῦτο ὁ θεὸc καθέλοι cε εἰc τέλοc, ἐκτίλαι cε καὶ μεταναcτεύcαι cε ἀπὸ cκηνώματόc cου καὶ τὸ ῥίζωμά cου ἐκ γῆc ζώντων' καὶ τὰ ἑξῆc τοῦ ψαλμοῦ. ἐπέμενεν δὲ
τὸ ἱερὸν καιόμενον ἐπὶ πλείcταc ἡμέραc. μετὰ δὲ ταῦτα 71
καὶ τῶν οἰκιῶν ἐγένετο ἔρευνα (πολλὰ γὰρ ὑπῆρχεν εἴδωλα ἐν πλείcταιc αὐλαῖc) καὶ τὰ εὑριcκόμενα τὰ μὲν πυρὶ παρεδίδοντο, τὰ δὲ εἰc βόρβορον ἐρρίπτοντο. εὑρίcκοντο δὲ καὶ βιβλία πεπληρωμένα γοητείαc, ἅτινα ἱερὰ αὐτοὶ ἔλεγον, ἐξ ὧν τὰc τελετὰc καὶ τὰ ἄλλα ἀθέμιτα ἐποίουν οἱ τῆc εἰδωλομανίαc, καὶ αὐτὰ δὲ ὁμοίωc ἴcα τοῖc θεοῖc αὐτῶν ἔπαcχον.

προcέτρεχον δὲ πολλοὶ τῇ ἁγίᾳ πίcτει, καὶ οἳ μὲν 72
φόβῳ οἳ δὲ καταγινώcκοντεc τῆc προτέραc ἑαυτῶν διαγωγῆc, πᾶcιν δὲ τὰc θύραc ἤνοιγεν ἡ ἁγία ἐκκληcία· ἐμνημόνευεν γὰρ τῆc ἁγίαc γραφῆc τῆc λεγούcηc· 'τῷ κρούοντι ἀνοιγήcεται καὶ ὁ ζητῶν εὑρίcκει' καὶ πάλιν· 'εἴτε προφάcει εἴτε ἀληθείᾳ Χριcτὸc καταγγέλλεται'. ἔλεγον δὲ καί τινεc τῶν πιcτῶν τῷ ὁcίῳ ἐπιcκόπῳ ὅτι οὐκ ἔδει δέξαcθαι τοὺc διὰ φόβον προcερχομένουc, ἀλλὰ
τοὺc ἀγαθῇ προαιρέcει· ὁ δὲ ὅcιοc ἐπίcκοποc ἔλεγεν 73

18 Matth. 7, 7 s. 20 ad Philipp. 1, 18

1 ἠκονιμένον B δώλον B ἀγαθοcύνην BV corr. V² 2 τοῦ BV corr. Ha 3 ῥῆμα B 4 καθελεῖ BV corr. Ha cε: cαι B ἐκτείλαι BV corr. v μετὰ ἀναcτεῦcαι B 5 ῥήζωμα V corr. v 6 ἐπέμεινεν V 7 [ἡμέ]ραc c. ras. V 10 βόρβωρον B ἐρίπτοντο BV corr. Ha 11 γοειτείαc B 12 αὐτοί: αὐτὰ BV corr. Ha ἄλα B 13 ἀθέμητα B εἰδωλωμανίαc B 14 ἔπαcχων B 15 προcέτρεχων B 16 διαλογῆc BV corr. v 17 ἤνυγεν B 18 τὸ V corr. V² 20 καταγγέλεται B

πρὸς τοὺς ταῦτα λέγοντας· Εἰςὶν καὶ περιςτατικαὶ ἀρεταὶ ςυμβαίνουςαι τοῖς ἀνθρώποις· ὥςπερ γὰρ οἰκέτην τις κεκτημένος ἀγνώμονα πρότερον νουθετεῖ αὐτὸν διὰ παντὸς εὐγνωμονῆςαι καὶ ἁπλῇ καρδίᾳ ἐξυπηρετήςαςθαι, ἐπὰν δὲ οὐδαμῶς εὕρῃ πειθόμενον τῇ νουθεςίᾳ, τότε λοιπὸν κατὰ ἀνάγκην τούτῳ ἐπάγει τὸν φόβον καὶ πληγὰς καὶ δεςμὰ καὶ ἄλλα τοιαῦτα, οὐ θέλων αὐτὸν ἀπολέςαι ἀλλὰ ςῶςαι καὶ ἐπιγνῶναι τὸ δέον, τοιοῦτον καὶ τὸν θεὸν ὑπολάβετε μακροθυμοῦντα ἐπὶ τῇ ἀγνωμοςύνῃ ἡμῶν, πολλάκις δὲ παραινοῦντα ἡμῖν τὰ ςυμφέροντα διά τε γραφῶν καὶ ἄλλων ἁγίων ἀνδρῶν, ἡμῶν δὲ μὴ πειθομένων θέλων ἐν πᾶςιν ὡς ἀγαθὸς καὶ φιλάνθρωπος δεςπότης κτήςαςθαι ἡμᾶς καὶ μὴ ἀπώςαςθαι, τὸν φόβον αὐτοῦ καὶ τὴν παιδείαν ἐνάγει ἡμῖν, προςκαλούμενος ἡμᾶς μετὰ ἀνάγκης ἐπιγνῶναι τὸ δέον. διὸ λέγει ἡ θεία γραφή· ‘ὅταν ἀπέκτεννεν αὐτούς, τότε ἐξεζήτουν αὐτὸν καὶ ἐπέςτρεφον καὶ ὤρθριζον πρὸς τὸν θεόν’. καὶ πάλιν λέγει διὰ τοὺς ἀποςκιρτῶντας καὶ δυςαυχενοῦντας ἐκ τοῦ θεοῦ· ‘ἐν κημῷ καὶ χαλινῷ τὰς ςιαγόνας αὐτῶν ἄγξεις τῶν μὴ ἐγγιζόντων πρὸς ςέ’. χρεία οὖν ἐςτιν, τέκνα μου, τὴν ἀνθρωπότητα ὑπομιμνήςκεςθαι διά τε φόβων | καὶ ἀπειλῶν καὶ παιδείας. διὰ τοῦτο

16 Ps. 77, 34 19 Ps. 31, 9

5 εὕρει BV corr. v 6 τοῦτο B 7 ἀπωλέςαι B rad. corr. V 8 δαίον B 9 ὑπελάβεται B ὑπολάβεται V corr. v 10 παρενοῦντα B 11 γραφῶν: noli conicere προφητῶν 12 πειθωμένων B rad. corr. V 13 ἀπόςαςθαι B 14 παιδίαν B ἐπάγει Eb 16 ἀπέκτενεν BV 17 ὄρθριζον BV corr. V² 18 f. βυςαυχενοῦντας 19 κιμῷ BV corr. V² ςιαγῶνας BV corr. v 20 ἄγξης B μή: μι V 22 παιδίας BV corr. v

πάλιν λέγει· ‘ἀγαθόν μοι ὅτι ἐταπείνωςάς με, ὅπως ἂν
μάθω τὰ δικαιώματά cου’. ταῦτα δέ μοι εἴρηται διὰ
τοὺς βουλομένους προςελθεῖν τῇ ἁγίᾳ ἡμῶν πίςτει. εἰ
γὰρ καὶ διςτάζοντες προςέλθωςιν, δύναται καὶ ὁ χρόνος
αὐτοὺς μαλάξαι Χριςτοῦ ἐπινεύοντος. ἵνα δὲ καὶ τὸ
ἄλλο ἀπαγγείλω ὑμῖν, ὅτι ἐὰν μὴ ὀφθῶςιν ἄξιοι τῆς
πίςτεως, ἤδη γενόμενοι ἐν ἕξει τοῦ κακοῦ, οἱ ἐξ αὐτῶν
γεννώμενοι δύνανται ςωθῆναι ςυναναςτρεφόμενοι τῷ
ἀγαθῷ. ταῦτα εἰπὼν ὁ ὅςιος Πορφύριος καὶ πείςας 74
τοὺς ἀδελφούς, πάντας τοὺς βουλομένους φωτιςθῆναι
ἐδέξατο, κατηχήςας αὐτοὺς ἐπὶ πολλὰς ἡμέρας οὐ μό-
νον πρὸ τοῦ βαπτίςματος, ἀλλὰ καὶ μετὰ ταῦτα· ςυνε-
χῶς γὰρ ἐδίδαςκεν τὸν λαόν, οὐχ ὁμιλῶν κομπῷ λόγῳ
θέλων ἐπιδείξαςθαι, ἀλλ’ ἁπλῇ φράςει διδάςκων καὶ ἐπι-
λύων πάντα ἀπὸ τῆς γραφῆς. προςετέθηςαν οὖν τῇ
τοῦ Χριςτοῦ ποίμνῃ ἐν ἐκείνῳ τῷ ἐνιαυτῷ ὡςεὶ ὀνό-
ματα τριακόςια, καὶ ἐξ ἐκείνου καθ’ ἕκαςτον ἔτος αὔξη-
ςιν ἐπεδέχετο τὰ Χριςτιανῶν.

καυθέντος δὲ εἰς τέλος τοῦ Μαρνείου καὶ τῆς πό- 75
λεως καταςταθείςης ἐβουλεύςατο ὁ μακάριος ἐπίςκοπος
μετὰ τῶν ἀπὸ τοῦ εὐαγοῦς κλήρου καὶ τοῦ φιλοχρίςτου
λαοῦ ἁγίαν ἐκκληςίαν κτίςαι ἐν τῷ καυθέντι τόπῳ,
καθὼς αὐτῷ ἀπεκαλύφθη ἡνίκα ἐτύγχανεν ἐν Κωνςταντι-
νουπόλει, δι’ ὃ καὶ τὰ χρήματα ἔλαβεν παρὰ τῆς θεο-
φιλεςτάτης Εὐδοξίας τῆς βαςιλίδος. ἀπολύςας οὖν τούς

1 Ps. 118, 71

7 ἐνέξει BV corr. Ha 8 γενώμενοι B 10 φωςθῆναι sscr. τι V 12 πρὸς B 13 λαόν: λόγον BV corr. Us 19 καυθέντες B corr. B² 20 καταςταθήςεις B 22 κτῆςαι B 24 δι’ ὧν BV corr. Eb 25 βαςιλεῖδος B

τε ἄρχοντας καὶ τὸν φιλόχριστον λαὸν μέρος τῆς βοηθείας κατέσχεν διὰ τὸ μὴ γενέσθαι νεωτερισμόν τινα μετὰ τὴν αὐτῶν ἔξοδον, οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ διὰ τὸ συμβοηθῆσαι χάριν τοῦ συναγαγεῖν τὰς ὕλας τῆς οἰκοδομῆς τῆς εἰρημένης ἁγίας ἐκκλησίας. συνεβούλευον οὖν τινες κτισθῆναι αὐτὴν κατὰ τὴν θέσιν τοῦ εἰδωλείου· στρογγυλοειδὲς γὰρ ὑπῆρχεν, περιβεβλημένον δυσὶν στοαῖς ἀλληλοεσωτέραις, τὸ δὲ μέσον αὐτοῦ ἦν ἀναφυσητὸν κιβώριον καὶ ἀνατεταμένον εἰς ὕψος, εἶχεν δὲ καὶ ἄλλα τινὰ ἃ τοῖς εἰδώλοις ἔπρεπεν, εὔθετα δὲ πρὸς τὰ γινόμενα παρὰ τῶν εἰδωλομανῶν μυσαρά τε καὶ ἀθέμιτα. κατὰ ταύτην οὖν τὴν θέσιν ἔλεγόν τινες τὴν ἁγίαν κτισθῆναι ἐκκλησίαν, ἄλλοι δὲ ἀντέλεγον λέγοντες καὶ αὐτὴν τὴν μνήμην τῆς θέσεως ὀφείλειν περιαιρεθῆναι· οἱ δὲ τοῦτο λέγοντες ἔπειθον πάντας ὡς καλῶς εἰπόντες· ὁ δὲ ὅσιος ἐπίσκοπος ἔλεγεν· Καὶ τοῦτο καταλείψωμεν τῇ βουλῇ τοῦ θεοῦ. ἐν ὅσῳ δὲ καθαίρεται ὁ τόπος καταλαμβάνει μαγιστριανὸς ἐπιφερόμενος βασιλικὰς ἐπιστολὰς τῆς ἀειμνήστου Εὐδοξίας, περιεῖχον δὲ | τὰ γράμματα ἀσπασμὸν καὶ αἴτησιν εὐχῶν ὑπέρ τε αὐτῆς καὶ τῶν βασιλέων, τοῦ αὐτῆς ἀνδρὸς καὶ τοῦ τέκνου. ἦν δὲ ἐν ἄλλῳ χάρτῃ ἔσωθεν τῶν γραμμάτων τὸ σκάριφον τῆς ἁγίας ἐκκλησίας σταυροειδὲς καθὼς νῦν σὺν θεῷ ὁρᾶται, καὶ περιεῖχον τὰ γράμ-

3 αὐτ[ῶν] c. ras. V 4 τοῦ συμβ. B 5 συνεβούλευων B 7 εἰδωλίου BV corr. V² 8 στολαῖς BV corr. Ha 9 ἀναφυσιτὸν B -σιτικὸν V -σητικὸν V² κιβόριον BV corr. v ἀνατεταμμένον BV corr. Ha 11 εἰδωλωμανῶν B 12 ἀθέμητα BV corr. Ha κατ' αὐτὴν V 14 ὀφίλειν B 17 τοῦ θεοῦ om. V post τῇ suppl. Ha 19 βασιλεικὰς B 22 ἄλλο BV corr. V² 23 σκάριφος BV corr. Ha σταυροειδῶς V

ματα ὥστε κατὰ τὸ σκάριφον κτισθῆναι τὴν ἁγίαν ἐκκλησίαν. ἐχάρη δὲ ὁ ἐν ἁγίοις Πορφύριος ἀναγνοὺς καὶ θεασάμενος τὸ σκάριφον· ἔγνω γὰρ ὅτι καὶ τοῦτο ἐγένετο κατὰ θείαν ἀποκάλυψιν καὶ ἐμνήσθη τῆς γραφῆς λεγούσης· 'καρδία βασιλέως ἐν χειρὶ θεοῦ'. περιεῖχον δὲ τὰ γράμματα ἔτι καὶ κίονας πολυτίμους καὶ μάρμαρα μέλλειν πέμπεσθαι. ἐκχοϊσθείσης οὖν τῆς τέ- 76
φρας καὶ πάντων τῶν βδελυγμάτων περιαιρεθέντων τὰ ὑπολειφθέντα σκύβαλα τῆς μαρμαρώσεως τοῦ Μαρνείου, ἅπερ ἔλεγον ἱερὰ εἶναι καὶ ἐν τόπῳ ἀβάτῳ τυγχάνειν, μάλιστα γυναιξίν, ταῦτα συνεῖδεν ὁ ὅσιος ἐπίσκοπος πρὸ τοῦ ναοῦ ἔξω εἰς τὴν πλατεῖαν πλακωθῆναι, ἵνα καταπατῶνται οὐ μόνον ὑπὸ ἀνδρῶν, ἀλλὰ καὶ γυναικῶν καὶ κυνῶν καὶ χοίρων καὶ κνωδάλων. τοῦτο δὲ πλέον ἐλύπησεν τοὺς εἰδωλολάτρας τῆς καύσεως τοῦ ναοῦ. ὅθεν οἱ πλείους αὐτῶν, μάλιστα αἱ γυναῖκες, οὐκ ἐπιβαίνουσιν τοῖς μαρμάροις ἕως τοῦ νῦν.

μετὰ χρόνον δὲ ὀλίγον κηρύσσει νηστείαν ἐν μιᾷ ἡμέρᾳ, καὶ τῆς ἀπολύσεως τῶν ἑωθινῶν εὐχῶν γενομένης ἐκέλευσεν ὁ θεοφιλὴς ἐπίσκοπος πάντα ἄνδρα φιλόχριστον δικέλλας καὶ ἅμας καὶ ἄλλα τοιαῦτα ὄργανα ὑφ' ἑκάστου βασταγῆναι. τοῦτο δὲ ἀπὸ τῆς ἑσπέρας ἦν προκηρύξας, ἵνα πάντες τὸ πρωὶ εὑρεθῶσιν ἐν εὐτρεπεῖ,

5 Prov. 21, 1

2 ἐχάρι B Πορφύριος: om. B 7 ἐκχοϊθείσης BV corr. Ha 8 βδελλυγμάτων V 9 ὑποληφθέντα BV corr. Ha 10 τώπω B 12 κατὰ πατόνται B 15 εἰδωλωλάτρας B 19 αἰωθινῶν B ἑωθηνῶν V corr. v 20 θεοφιλεῖς B post φιλόχριστον desideratur tale ὡς τάχος συναχθῆναι καὶ 21 ἄμμας BV corr. Ha 22 ὑπεκάστου BV corr. v 23 τὸ πρωὶ Bv τῷ π. V εὐτρεπῆ BV corr. Ha

77 ὃ δὴ καὶ γέγονεν. ϲυναχθέντοϲ δὲ τοῦ λαοῦ μετὰ τῶν εἰρημένων ὀργάνων ἐν τῇ ἁγίᾳ ἐκκληϲίᾳ τῇ ἐπωνύμῳ Εἰρήνῃ ἐπέτρεψεν πάνταϲ ψάλλονταϲ ὁμοῦ πορευθῆναι εἰϲ τὸ ποτὲ Μαρνεῖον, αὐτὸϲ δὲ ἐπηκολούθει βαϲτάζων τὸ ἅγιον εὐαγγέλιον καὶ περὶ αὐτὸν ἔχων τὸν εὐαγῆ κλῆρον, ὄντωϲ μιμούμενοϲ τὸν Χριϲτὸν μετὰ τῶν μαθητῶν. προηγεῖτο δὲ τοῦ λαοῦ ὁ ἀείμνηϲτοϲ Βαρωχᾶϲ βαϲτάζων τὸ ἐκτύπωμα τοῦ τιμίου ϲταυροῦ, ἐξ ἑκατέρων δὲ τῶν μερῶν τοῦ λαοῦ ἦϲαν οἱ ϲτρατιῶται οἱ ὑπολειφθέντεϲ χάριν τῆϲ εὐταξίαϲ τῆϲ πόλεωϲ. πορευόμενοι δὲ ἔψαλλον καὶ ἐν τῇ θέϲει τῆϲ διακοπῆϲ τοῦ ψαλμοῦ ἔλεγον τὸ ἀλληλούια· ἦν δὲ ὁ ψαλμὸϲ ὃν ἔλεγον· ‘δεῦτε ἀγαλλιαϲώμεθα τῷ κυρίῳ, ἀλαλάξωμεν τῷ θεῷ τῷ ϲωτῆρι ἡμῶν. προφθάϲωμεν τὸ πρόϲωπον αὐτοῦ ἐν ἐξομολογήϲει καὶ ἐν ψαλμοῖϲ ἀλαλάξωμεν αὐτῷ, ὅτι θεὸϲ μέγαϲ κύριοϲ καὶ βαϲιλεὺϲ μέγαϲ ἐπὶ πᾶϲαν τὴν γῆν, ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆϲ γῆϲ καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰϲιν, ὅτι αὐτοῦ ἐϲτιν ἡ θάλαϲϲα καὶ αὐτὸϲ ἐποίηϲεν αὐτὴν καὶ τὴν ξηρὰν αἱ χεῖρεϲ αὐτοῦ | ἔπλαϲαν. δεῦτε προϲκυνήϲωμεν καὶ προϲπέϲωμεν αὐτῷ καὶ κλαύϲωμεν ἐναντίον κυρίου τοῦ ποιήϲαντοϲ ἡμᾶϲ, ὅτι αὐτόϲ ἐϲτιν ὁ θεὸϲ ἡμῶν καὶ ἡμεῖϲ λαὸϲ νομῆϲ αὐτοῦ καὶ πρόβατα χειρὸϲ αὐτοῦ’.

78 ἔλεγον δὲ καὶ ἄλλουϲ ψαλμοὺϲ ἕωϲ ὅτε εἰϲῆλθον εἰϲ τὸ Μαρνεῖον. ἦν δὲ προτρεψάμενοϲ ὁ ἐν ἁγίοιϲ Πορ-

13 Ps. 94, 1 ss.

2 ἐπονύμω B 4 ἐπικολούθει BV corr. v 5 αὐτὸν B 6 ὄντοϲ BV corr. Ha μημούμενοϲ B 9 ὑποληφθέντεϲ BV corr. v 11 ἔψαλον B θέϲη B 13 et 15 ἀλαλάξομεν B 20 χεῖραιϲ B 24 ἔλεγεν BV corr. Ha

φύριος ὁ ἐπίςκοπος Ῥουφῖνόν τινα ἀρχιτέκτονα ἐκ τῆς Ἀντιόχου, πιςτὸν ἄνδρα καὶ ἐπιςτήμονα, δι' οὗ καὶ τὸ ἅπαν τῆς οἰκοδομῆς ἐτελειώθη. οὗτος λαβὼν γύψον ἐςημειώςατο τὴν θέςιν τῆς ἁγίας ἐκκληςίας κατὰ τὸ ςχῆμα τοῦ πεμφθέντος ςκαρίφου ὑπὸ τῆς θεοφιλεςτάτης αὐγούςτης Εὐδοξίας. καὶ ποιήςας ὁ ὁςιώτατος ἐπίςκοπος εὐχὴν καὶ γονυκλιςίαν ἐπέτρεψεν τῷ λαῷ ςκάπτειν. εὐθέως δὲ πάντες μιᾷ ψυχῇ καὶ τῇ αὐτῇ προθυμίᾳ ἔςκαπτον βοῶντες· Ὁ Χριςτὸς ἐνίκηςεν. οὐκ ἦν δὲ θεάςαςθαι διαφορὰν ἀνδρὸς καὶ γυναικὸς ἢ γέροντος ἢ παιδίου, ἀλλ' ἡ προθυμία πᾶςιν τὴν αὐτὴν δύναμιν παρεῖχεν, καὶ οἳ μὲν ἔςκαπτον ἄλλοι δὲ ἐξεχόιζον, ὥςτε δι' ἡμερῶν ὀλίγων πάντας τοὺς τόπους ὀρυχθῆναι καὶ ἐκχοϊςθῆναι. καὶ προευτρεπιςθείςης τῆς 79 ὕλης λίθων τε παμμεγεθῶν ἀπὸ λόφου τοῦ λεγομένου Ἀλδιώματος ἐξ ἀνατολῶν τῆς πόλεως καὶ ἄλλης ὕλης ὁ ἐν ἁγίοις πάλιν ςυναγαγὼν τὸν φιλόχριςτον λαὸν καὶ ποιήςας πολλὰς εὐχὰς καὶ ψαλμῳδίας ἐν τῷ τόπῳ ἀναζωςάμενος αὐτὸς πρῶτος ἤρξατο βαςτάζειν λίθους καὶ βάλλειν εἰς τὰ θεμέλια, ἔπειτα καὶ οἱ θεοφιλεῖς κληρικοὶ καὶ πάντες οἱ λαϊκοί, χαίροντες καὶ ψάλλοντες μεγάλῃ τῇ φωνῇ, ὡς ἀκούεςθαι αὐτοὺς ἀπὸ τριῶν μιλίων τῆς πόλεως.

ἐγένετο δὲ μέγα θαῦμα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. φρέατα 80 τυγχάνουςιν ἔςωθεν τοῦ περιβολαίου τοῦ ἱεροῦ, ἐξ ὧν ἐςτιν ἓν ἀπὸ δυτικοῦ μέρους τῆς νῦν ἁγίας τοῦ θεοῦ ἐκκληςίας, οὐκ ὀλίγον βάθος ἔχον. τρεῖς οὖν παῖδες διψήςαντες

3 cf. Ha opusc. III p. 447 4 ἐςιμειώςατο B 7 γονυκληςίαν BV corr. Ha 12 γὰρ εἶχεν B 14 ἐκχοϊθῆναι V προευτρεπιςθήςης B 16 Ἀλδιώματος: cf. Etymol. Magn. 58, 20 20 βάλειν B ἔπιτα B 22 μηλίων BV corr. Ha 27 ἔχων V

ἀπῆλθον ἐπὶ τὸ πιεῖν καὶ πληϲιάϲαντεϲ τῷ ϲτόματι τοῦ φρέατοϲ παρέκυπτον ἐπερειδόμενοι τῷ ξύλῳ τῷ ἐπὶ τοῦ ϲτομίου, οἷα ϲυμβαίνει παῖδαϲ ποιεῖν, καὶ κλαϲθέντοϲ τοῦ ξύλου οἱ τρεῖϲ ἔπεϲαν εἰϲ τὸ φρέαρ. τινὲϲ δὲ ἐκεῖ εὑρεθέντεϲ ἀπῆλθον καὶ ἀπήγγειλαν τῷ λαῷ τὰ γενόμενα. ἐγένετο δὲ οὐ μικρὸϲ θόρυβοϲ πάντων ϲυντρεχόντων ἐπὶ τὸ φρέαρ. γνοὺϲ δὲ τὸ γεγονὸϲ ὁ ὁϲιώτατοϲ Πορφύριοϲ καὶ αὐτὸϲ δραμὼν ἐπὶ τὸν τόπον ἐκέλευϲεν ἡϲυχίαν γενέϲθαι, καὶ γενομένηϲ ἤρξατο εὔχεϲθαι καὶ δέεϲθαι τοῦ θεοῦ μετὰ πολλῶν δακρύων ἵνα ζῶντα καὶ ἀϲινῆ τὰ παιδία φυλάξῃ, καὶ μάλιϲτα διὰ τοὺϲ εἰδωλομανεῖϲ, ἵνα μὴ εἴπωϲιν· Ποῦ ἐϲτιν ὁ θεὸϲ αὐτῶν εἰϲ ὃν ἤλπιζον; καὶ ποιήϲαϲ ὥραν μίαν χαμαὶ κείμενοϲ καὶ ἀνα|ϲτὰϲ ἐπέτρεψεν κατελθεῖν τινα διὰ τῶν ϲχοινίων τῶν κάδων, τὴν ἔρευναν τῶν παίδων ποιήϲαϲθαι. ἐβόων γὰρ οἱ ἀπὸ τοῦ πλήθουϲ, καλοῦντεϲ τὰ παιδία, καὶ οὐδεὶϲ ἦν ὁ ὑπακούων κάτωθεν ἐκ τοῦ
81 φρέατοϲ. κατελθόντοϲ δὲ τοῦ ἀνδρὸϲ ηὑρέθηϲαν οἱ τρεῖϲ παῖδεϲ καθήμενοι ἐπάνω λίθου μεγάλου ἀϲινεῖϲ καὶ ἱλαροὶ ὁμιλοῦντεϲ ἀλλήλοιϲ. ὡϲ δὲ ἐθεάϲατο αὐτοὺϲ ὁ ἀνήρ, ὑπερεθαύμαϲεν καὶ ἐδόξαϲεν τὸν θεόν, καὶ βοήϲαϲ κάτωθεν εἶπεν· Δοξάϲατε τὸν κύριον, ζῶϲιν γὰρ οἱ τρεῖϲ παῖδεϲ. ἀκούϲαϲ δὲ ὁ ἐν ἁγίοιϲ ὅϲιοϲ ἐπίϲκοποϲ καὶ οἱ τοῦ λαοῦ ἐχάρηϲαν καὶ πέμψαντεϲ ϲπυρίδα μεγάλην ἐπέτρεψεν τοὺϲ τρεῖϲ ὁμοῦ ἀνενεχθῆναι. μικροὶ γὰρ ἦϲαν ὡϲ ἀπὸ ἐτῶν ἓξ ἢ ἑπτά. δεξάμενοϲ δὲ ὁ

12 cf. Ps. 79, 10. 115, 2. Ioel 2, 17

2 ἐπεριδόμενοι B V corr. Ha 7 γεγονῶϲ B 11 διαφυλάξῃ V 13 κείμενοϲ: κεκλημένοϲ V 20 ἀλλήλουϲ V 24 ϲπυρίδαν B V corr. Ha 25 ἐπέτρεψαν Ha 26 ὡϲ: ὃϲ B

κάτω τὴν cπυρίδα καὶ δεcμήcαc ἀcφαλῶc ἐκάθιcεν τοὺc τρεῖc, παραγγείλαc αὐτοῖc κλεῖcαι τοὺc αὐτῶν ὀφθαλμοὺc ἄχριc οὗ τὰ ἄνω φθάcωcιν καὶ λέγειν· Ἰηcοῦ Χριcτέ, cῶcον. καὶ ποιήcαc τοῦτο ἐβόηcεν μετὰ καταcτάcεωc cῦραι τὸ cχοινίον, καὶ cύροντεc ἔλεγον τὸν ὕμνον τῶν τριῶν παίδων· ‛εὐλογητὸc εἶ, κύριε ὁ θεὸc τῶν πατέρων ἡμῶν’. καὶ ὡc ἔφθαcαν καὶ ἐθεάcατο αὐτοὺc ὁ ἐν ἁγίοιc ἐπίcκοποc (οὗτοc γὰρ ἐτύγχανεν κατὰ τοῦ cτομίου τοῦ φρέατοc ἑcτὼc καὶ κρατῶν τὸ cχοινίον), [καὶ] πληcθεὶc χαρᾶc καὶ δακρύων ἀνεβόηcεν εἰπών· ‛εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον, ὑμνεῖτε’. ὡc δὲ ἐπῆραν αὐτοὺc ἐκ τοῦ cπυριδίου, ἠρεύνηcαν μή τι τοῦ cώματοc αὐτῶν ἔπληκται, καὶ οὐδὲν ηὑρέθη φαῦλον ἐν αὐτοῖc, ἀλλὰ μέγα θαῦμα ἐθεαcάμεθα· 14
οἱ γὰρ τρεῖc cταυροειδῆ cημεῖα ηὑρέθηcαν ἔχον- 82
τεc ὡc ἀπὸ ξέcματοc βελόνηc, ὃ μὲν ἐν τῷ μέcῳ τοῦ μετώπου, ὃ δὲ ἐπάνω τῆc δεξιᾶc χειρὸc περὶ τοὺc δακτύλουc, ὁ δὲ ἄλλοc εἰc τὸν δεξιὸν ὦμον. ἦν δὲ τὰ cταυρία καλῶc τετυπωμένα, μήτε λοξὰ μήτε cκαμβά, ἀλλ’ ἑνὸc μέτρου, ὡc δῆλα αὐτὰ εἶναι θεοcήμεια· οὔτε γὰρ πόνον ἐποίουν αὐτοῖc, ἀλλ’ οὐδὲ αἷμα, ἀλλ’ ἦν τετυπωμένα ὡc ἀπὸ κινναβάρεωc. ἔμειναν δὲ ἐν αὐτοῖc ἱκανὸν χρόνον πρὸc τὸ πάνταc ὁρᾶν καὶ θαυμάζειν· πολλοὶ γὰρ καὶ τῶν ἀλλοεθνῶν θεαcάμενοι ἐπίcτευcαν.

6 Prec. Azariae 2 11 Prec. Azariae 34

1 δεcμίcαc B ἐκάθηcεν B 2 κλῆcαι B 4 f. κατατάcεωc 5 cχοινίων B 10 καὶ del. Ha πλειcθεὶc V 15 cταυροηδῆ B 17 μετόπου B 19 τετυπομένα B 20 δεῖλα BV corr. v 21 ἦν ut vid. B ἢ B²V corr. Ha τετοιπομένα B 22 κιναβάρεωc BV corr. Ha

83 ἀνενεχθεὶς δὲ καὶ ὁ ἄνθρωπος ὁ καταβὰς χάριν τῶν
παιδίων διεβεβαιοῦτο ὅρκοις λέγων ὅτι Ἡνίκα ἔβαλλον
αὐτοὺς ἐν τῇ σπυρίδι καὶ ἀνεφέροντο, ἐθεώρουν ὡς ἐπὶ
ἀστραπῆς κύκλῳ αὐτῶν ἕως ὅτου ἔφθασαν τὸ στόμιον τοῦ
φρέατος. ἐγένετο δὲ χαρὰ τοῖς Χριστιανοῖς ἐν ἐκείνῃ
τῇ ἡμέρᾳ, τοῖς δὲ εἰδωλολάτραις λύπη καὶ σκάνδαλον.
ἡ δὲ οἰκοδομὴ προέκοπτεν καθ' ἡμέραν, πάντων
προθύμως καὶ σπουδαίως | ἐργαζομένων· οὔτε γὰρ ἦν ὁ
ἀποστερούμενος τὸν μισθὸν αὐτοῦ, ἀλλὰ καὶ περισσὸν παρ-
εῖχεν φιλοτιμούμενος τοὺς ἐργαζομένους· ἔλεγεν γάρ·
Δίκαιόν ἐστιν ἵνα μὴ λάβῃ κατάραν ἀλλ' εὐλογίαν τὸ
84 πᾶν ἔργον τῆς οἰκοδομῆς. τῷ δὲ ἑξῆς ἐνιαυτῷ πέμ-
πει ἡ βασίλισσα Εὐδοξία τοὺς στύλους οὓς ἐπηγγείλατο,
θαυμαστοὺς ὄντας καὶ μεγάλους, τὸν ἀριθμὸν τριάκοντα
δύο (καλοῦνται δὲ Καρύστιοι), οἵτινές εἰσιν ἐν τῇ ἁγίᾳ
ἐκκλησίᾳ σμαράγδων δίκην λάμποντες. καταπλευσάντων
δὲ αὐτῶν πάλιν ἐδείχθη ἡ σπουδὴ καὶ προθυμία τοῦ
φιλοχρίστου λαοῦ· πάντες γὰρ ἀκούσαντες εὐθέως ἔδρα-
μον ἐπὶ τὸν αἰγιαλόν, οὐ μόνον δὲ ἄνδρες, ἀλλὰ καὶ
γυναῖκες καὶ παῖδες καὶ γέροντες (πάντας γὰρ ὁ πόθος
τῆς πίστεως ἐνεδυνάμου), καὶ ἀγαγόντες ἁμάξας ἐπι-
θέντες ἕκαστον στύλον εἷλκον καὶ ἀπετίθεντο ἐν τῷ
ὑπαίθρῳ τοῦ ἱεροῦ καὶ πάλιν ὑπέστρεφον καὶ διεκόμιζον
ἕτερον ἕως οὗ ὅλους διεκόμιζον. καὶ ταῦτα μὲν περὶ
τούτων.
85 κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ἐπεδήμησεν τῇ πόλει

2 ἔβαλον V 3 σπυρίδη B ὡσεὶ ἀστραπὰς Ha f. ⟨φῶς⟩ ὡς ἐπὶ ἀστραπῆς 8 σπουδαῖος B 10 φειλοτιμούμενος B 12 πέμπη B 13 στ[ύλ]ους c. ras. V 15 καλοῦντε B καρώστιοι BV corr. Henschen 17 πάλιν αὐτῶν B ἡ om. V 22 ἀπέθεντο B 23 ὑπέθρω BV corr. Ha 25 τούτον B

γυνή τις Ἀντιόχισσα καλουμένη Ἰουλία, ἥτις ὑπῆρχεν τῆς μυσαρᾶς αἱρέσεως τῶν λεγομένων Μανιχαίων, καὶ γνοῦσά τινας νεοφωτίστους εἶναι καὶ μήπω ἐστηριγμένους ἐν τῇ ἁγίᾳ πίστει ὑπεισελθοῦσα ὑπέφθειρεν αὐτοὺς διὰ τῆς γοητικῆς αὐτῆς διδασκαλίας, πολλὰ δὲ πλέον διὰ δόσεως χρημάτων. ὁ γὰρ ἐφευρὼν τὴν εἰρημένην ἄθεον αἵρεσιν οὐκ ἄλλως ἠδυνήθη δελεάσαι τινὰς εἰ μὴ διὰ τῆς παροχῆς τῶν χρημάτων. καὶ γὰρ τὸ μάθημα αὐτῶν τοῖς γε νοῦν ἔχουσιν πεπλήρωται πάσης βλασφημίας καὶ καταγνώσεως καὶ γραώδων μύθων ἐφελκομένων γυναικάρια καὶ παιδιώδεις ἄνδρας κοῦφον ἔχοντας τόν τε λογισμὸν καὶ τὴν διάνοιαν. ἐκ διαφόρων γὰρ αἱρέσεων καὶ δογμάτων Ἑλληνικῶν συνέστησαν ταύτην αὐτῶν τὴν κακοδοξίαν, βουλόμενοι πανούργως καὶ δολίως πάντας προσλαβέσθαι. θεοὺς γὰρ πολλοὺς λέγουσιν, ἵνα Ἕλλησιν ἀρέσωσιν, ἔτι δὲ καὶ γένεσιν καὶ εἱμαρμένην καὶ ἀστρολογίαν φάσκουσιν, ἵνα ἀδεῶς ἁμαρτάνωσιν, ὡς μὴ ὄντος ἐν ἡμῖν τοῦ ἁμαρτάνειν, ἀλλ᾽ ἐξ ἀνάγκης τῆς εἱμαρμένης. ὁμολογοῦσιν δὲ καὶ Χριστόν, δοκήσει γὰρ αὐτὸν 86
λέγουσιν ἐνανθρωπῆσαι· καὶ αὐτοὶ γὰρ δοκήσει λέγονται Χριστιανοί. τὰ γὰρ γέλωτος καὶ δυσφημίας ἄξια παραλιμπάνω, ἵνα μὴ πληρώσω τὰς ἀκοὰς τῶν ἐντυγχα-

1 ἀντιόχησα B -εισα V corr. Ha ἰουλία P ἰολία BV ἰουλιανή M 2 μυσερᾶς V [λεγο]μένων c. ras. V μανιχέων V corr. v 3 ἐστηρηγμένους B 4 πίστη V corr. v 5 f. πολλῷ 6 δώσεως B rad. corr. V ἐφευρὸν B 7 οὐκ ἄλως B οὐ καλῶς V corr. V² 10 γραοδῶν BV corr. V² 14 πανούργος B 16 ἡμαρμένην BV corr. v 17 ἁμαρτάνουσιν V corr. v ὄντως BV corr. v 18 τοῦ: τὸ BV corr. v ἡμαρμένης BV corr. v 19 ὁμολογοῦσι V δοκείσει V corr. v 21 παραλειμπάνων B παραλ[ει]μ[πά]νω c. ras. V corr. v

νόντων ἤχους βαρυτάτου καὶ τερατολογίας. τὰ γὰρ Φιλιστίωνος τοῦ σκηνικοῦ καὶ Ἡσιόδου καὶ ἄλλων λεγομένων φιλοσόφων | συμμίξαντες τοῖς τῶν Χριστιανῶν τὴν ἑαυτῶν αἵρεσιν συνεστήσαντο. ὥσπερ γὰρ ζωγράφος ἐκ διαφόρων χρωμάτων μίξιν ποιῶν ἀποτελεῖ δοκήσει ἄνθρωπον ἢ θηρίον ἢ ἄλλο τι πρὸς ἀπάτην τῶν θεωρούντων, ἵνα δόξῃ τοῖς μὲν μώροις καὶ ἀνοήτοις ἀληθῆ τυγχάνειν, τοῖς δὲ νοῦν ἔχουσι σκιὰ καὶ ἀπάτη καὶ ἐπίνοια ἀνθρωπίνη, οὕτως καὶ οἱ Μανιχαῖοι ἐκ διαφόρων δογμάτων ἀντλήσαντες ἀπετέλεσαν τὴν αὐτῶν κακοδοξίαν, μᾶλλον δὲ ἐκ διαφόρων ἑρπετῶν τὸν ἰὸν συναγαγόντες καὶ μίξαντες θανατηφόρον φάρμακον κατεσκεύασαν πρὸς ἀναίρεσιν ἀνθρωπίνων ψυχῶν. ὡς δὲ προείρηται ἐνδημησάσης τῆς λοιμοφόρου γυναικός, τινὲς τῇ
87 ἀπατώδει αὐτῆς διδασκαλίᾳ συναπήχθησαν. μεθ' ἡμέρας δέ τινας γνοὺς παρά τινων πιστῶν ὁ ἐν ἁγίοις Πορφύριος μεταπεμψάμενος αὐτὴν ἐπηρώτα, τίς καὶ πόθεν ὑπῆρχεν καὶ ποίαν δόξαν ἐπιφέρεται. ἡ δὲ καὶ τὴν πατρίδα καὶ ὅτι Μανιχαία ἐτύγχανεν ὡμολόγησεν. τῶν δὲ περὶ αὐτὸν ὀργῇ κινηθέντων (ἦσαν γὰρ παρ' αὐτῷ τινες εὐλαβεῖς) παρεκάλει ὁ μακάριος αὐτοὺς μὴ θυμοῦσθαι ἀλλὰ μεθ' ὑπομονῆς παραινέσαι καὶ ἅπαξ καὶ δίς, φυλάττων τὸ ῥητὸν τοῦ ἁγίου ἀποστόλου. εἶτα λέγει τῇ γυναικί·

23 ad Titum 3, 10

1 ἤχου v 2 φιλιστίονος BV corr. v (cf. Epiphan. panar. h. 66, 22) σκήνου BV corr. Ha ἰσιόδου B 5 δοκείσει V corr. v 8 ἀληθὲς Ha τυγχάνων BV -νον v corr. Ha 9 οὗτος B 11 [ἑρπε]τῶν c. ras. V τῶν ἰῶν B 12 μήξαντες B 14 ἐνδημήσας BV corr. B²v 15 ἀπατώδη BV corr. v 17 ἐπιρότα B 18 ἐπιφέρετε B 19 ὁμολόγησεν B αὐτῶν BV corr. v 21 post παρεκάλει eras. δὲ V 22 δεῖς B φυλάττον B 23 [ἁ]γίου c. ras. V

Ἀπόσχου, ἀδελφή, ταύτης τῆς κακοδοξίας· σατανικὴ γὰρ τυγχάνει. ἡ δὲ ἀπεκρίνατο· Λέγε καὶ ἄκουε, καὶ ἢ πείθεις ἢ πείθῃ. ὁ δὲ μακάριος εἶπεν· Εὐτρεπίζου εἰς τὴν αὔριον καὶ παραγένου ἐνταῦθα. ἡ δὲ συνταξαμένη ἐξῆλθεν. ὁ δὲ μακάριος νηστεύσας καὶ πολλὰ δεηθεὶς τοῦ Χριστοῦ ἵνα καταισχύνῃ τὸν διάβολον ηὐτρεπίσθη εἰς τὴν ἑξῆς, προσεκαλέσατο δέ τινας τῶν εὐλαβῶν κληρικῶν τε καὶ λαϊκῶν εἰς τὸν διάλογον αὐτοῦ τε καὶ τῆς γυναικός. τῇ δὲ ἐπαύριον παραγίνεται ἡ γυνή, ἔχουσα 88
μεθ᾽ ἑαυτῆς ἄνδρας δύο καὶ τοσαύτας γυναῖκας· ἦσαν ⟨δὲ⟩ νεώτεροι καὶ εὐειδεῖς, ὠχροὶ δὲ οἱ πάντες, ἡ δὲ Ἰουλία ἦν προβεβηκυῖα. ὅλοι δὲ ὥρμουν ἀπὸ λόγων τῆς κοσμικῆς παιδείας, πολλῷ δὲ πλέον ἡ Ἰουλία. τὸ δὲ πρόσχημα αὐτῶν ἦν ταπεινὸν καὶ τὸ ἦθος ἤπιον, τὸ δὲ δὴ λεγόμενον ἔξωθεν πρόβατα, ἔσωθεν δὲ λύκοι ἅρπαγες καὶ θηρία ἰοβόλα· πάντα γὰρ μεθ᾽ ὑποκρίσεως λαλοῦσίν τε καὶ πράττουσιν. εἶτα ἐπιτραπέντες καθίσαι τὴν ζήτησιν ἐποιοῦντο. ὁ δὲ ἐν ἁγίοις βαστάζων τὰ ἅγια εὐαγγέλια καὶ ποιήσας τὴν σφραγῖδα τοῦ σταυροῦ ἐν τῷ στόματι αὐτοῦ ἤρξατο ἐπερωτᾶν αὐτὴν ἐξειπεῖν τὴν δόξαν αὐτῆς, ἡ δὲ ἤρξατο λέγειν. ὁ δὲ ἀδελφὸς Κορνήλιος ὁ διάκονος ὁ πρὸ | βραχέος ὀνομασθείς, ἐπιστάμενος τὰ Ἐννόμου σημεῖα, ἐπιτραπεὶς παρὰ τοῦ μακαριωτάτου ἐπισκόπου πάντα τὰ λεγόμενα καὶ ἀντιτι-

15 cf. Matth. 7, 15

1 ταύτης ἀδελφή V 2 τυγχάνη B 3 πείθει B 4 παραγίνου Eb 8 διάλογων B 9 τι δὲ B 11 δὲ add. Ha, an ἦσαν ⟨δὲ οὗτοι μὲν⟩ ὀχροὶ BV corr. v 12 ὅρμουν BV corr. v ἐπὶ λόγων Ha 13 παιδίας B 15 [δὲ] δὴ Us 17 καθῆσαι BV corr. v 22 κορνίλιος B βραχέως BV corr. v 23 ἐν νόμῳ Ha

θέμενα ἐσημειοῦτο, ἐμοῦ καὶ τοῦ ἀδελφοῦ Βαρωχᾶ ὑπομιμνῃσκόντων. τὸν δὲ διάλογον οὐκ ἔγραψα ἐν τούτῳ τῷ βιβλίῳ διὰ τὸ εἶναι μέγαν, βουλόμενος ἐν ἐπιτομῇ ποιήσασθαι τὴν παροῦσαν συγγραφήν, ἐν ἑτέρῳ δὲ βιβλίῳ αὐτὸν ἐξεθέμην τοῖς βουλομένοις γνῶναι τήν τε σοφίαν τὴν δοθεῖσαν παρὰ θεοῦ τῷ ὁσιωτάτῳ Πορφυρίῳ καὶ τοὺς γραώδεις μύθους οὓς ἐφλυάρησεν ἡ τερατολόγος καὶ φαρ-
89 μακὸς Ἰουλία. ἥντινα μετῆλθεν ἡ θεία δίκη ὀξέως. μετὰ γὰρ τὸ πολλὰ καὶ ἐπὶ πλείστας ὥρας μυθολογῆσαι καὶ τὰς συνήθεις βλασφημίας εἰπεῖν εἰς τὸν τῶν ὅλων κύριον καὶ θεὸν κινηθεὶς ὑπὸ τοῦ θεϊκοῦ ζήλου ὁ ἐν ἁγίοις Πορφύριος, ὁρῶν τὸν τὰ πάντα περιέχοντα [τὰ πέρατα] τά τε ὁρατὰ καὶ τὰ ἀόρατα βλασφημούμενον ὑπὸ γυναικὸς ἐνεργουμένης ὑπὸ τοῦ διαβόλου καὶ συγκαταβαινούσης τῷ ἐκείνου θελήματι, ἀπεφήνατο κατ' αὐτῆς εἰπών· Ὁ θεὸς ὁ τὰ πάντα ποιήσας, ὁ μόνος ἀΐδιος μήτε ἀρχὴν μήτε τέλος ἔχων, ὁ ἐν τριάδι δοξαζόμενος, πατάξει σου τὴν γλῶτταν καὶ φιμώσει σου τὸ στόμα, ἵνα μὴ λαλῇ
90 δύσφημα. εὐθέως δὲ σὺν τῇ ἀποφάσει καὶ ἡ τιμωρία ἐπηκολούθησεν· ἤρξατο γὰρ τρέμειν ἡ Ἰουλία καὶ ἀλλοιοῦσθαι τὸ πρόσωπον, καὶ μείνασα ἐν ἐκστάσει ἐπὶ ἱκανὴν ὥραν οὐκ ἐλάλει, ἀλλ' ἦν ἄφωνος καὶ ἀκίνητος, τοὺς ὀφθαλμοὺς ἔχουσα διηνοιγμένους καὶ προσέχοντας τῷ ὁσιωτάτῳ ἐπισκόπῳ. οἱ δὲ σὺν αὐτῇ θεασάμενοι ἃ ὑπέστη ἐφοβήθησαν σφόδρα, ἐψυχαγώγουν δὲ αὐτὴν καὶ

1 ἐσιμειοῦτο B 2 ἄλογον BV λόγον Ha 3 μέγα BV corr. Ha 7 φαρμάκως B rad. corr. V 9 τὰ πολλὰ BV corr. Ha πλείσταις ὥραις B 10 τῶν om. B ὅλον B 12 τὰ πέρατα dittographiam del. Us cf. P 14 συνκαταβ. BV corr. v 17 ἔχον B τριάδη B 18 φημώσει BV corr. v 20 ἐπικολούθησεν B 22 εἱκανὴν B ἐλάλη B 23 διηνυγμένους B

ἐπῇδον εἰς τὸ οὖς αὐτῆς, καὶ οὐκ ἦν φωνὴ καὶ οὐκ ἦν
ἀκρόασις. ποιήσασα δὲ ὥραν ἱκανὴν ἄφωνος παρέδωκεν
τὴν ψυχήν, ἀπελθοῦσα εἰς ὅπερ ἐτίμησεν σκότος, φῶς
αὐτὸ ἡγησαμένη, κατὰ τὴν γραφὴν τὴν λέγουσαν· ‘οὐαὶ
τοῖς ποιοῦσιν τὸ γλυκὺ πικρὸν καὶ τὸ πικρὸν γλυκύ, τοῖς
τιθεῖσι τὸ σκότος φῶς καὶ τὸ φῶς σκότος’. ἐπέτρεψεν
δὲ ὁ ἐν ἁγίοις περισταλῆναι αὐτῆς τὸ σῶμα καὶ ταφῇ
παραδοθῆναι, ἐλεήσας τὴν ἀνθρωπείαν φύσιν· ἦν δὲ
καθ’ ὑπερβολὴν εὔσπλαγχνος. ὅσοι δὲ ἤκουσαν τὸ γενό- 91
μενον ὑπερεθαύμασαν, οὐ μόνον οἱ τῆς ἡμετέρας πίστεως,
ἀλλὰ καὶ οἱ ἀλλοεθνεῖς. οἱ δὲ μετ’ αὐτῆς δύο ἄνδρες
καὶ γυναῖκες καὶ ὅσοι ὑπεφθάρησαν παρ’ αὐτῆς δρα-
μόντες προσέπεσαν τοῖς ποσὶν τοῦ μακαριωτάτου ἐπι-
σκόπου λέγοντες· Πεπλανήμεθα, καὶ ᾔτουν μετάνοιαν.
ὁ δὲ μακάριος ἐποίησεν πάντας ἀναθεματίσαι τὸν Μάνην
τὸν ἀρχηγὸν τῆς αὐτῶν αἱρέσεως, ἐξ οὗ καὶ Μανιχαῖοι
ἐκλήθησαν, καὶ κατηχήσας αὐτοὺς ἐπὶ πλείστας ἡμέρας |
προσήγαγεν τῇ ἁγίᾳ καθολικῇ ἐκκλησίᾳ. προφάσει δὲ
ἐκείνων καὶ ἄλλοι τῶν ἀλλοεθνῶν μετανοήσαντες ἐφω-
τίσθησαν.

μετὰ δὲ πενταετῆ χρόνον ἐτελειώθη τὸ ἔργον τῆς 92
ἁγίας ἐκκλησίας τῆς μεγάλης, ἐκλήθη δὲ Εὐδοξιανὴ ἐκ
τοῦ ὀνόματος τῆς θεοφιλεστάτης Εὐδοξίας τῆς βασιλίδος.
ἐπετέλεσεν δὲ ὁ ὁσιώτατος Πορφύριος τὰ ἐγκαίνια τῇ
ἡμέρᾳ τῇ ἀναστασίμῳ τοῦ ἁγίου πάσχα πολυτελῶς, μὴ

4 Isai. 5, 20

2 ποιήσας V corr. v 4 αὐτῷ BV corr. v 8 ἀνθρωπίαν BV corr. v 11 ἀλλοεθνῆς B 13 προσέπεσον v 15 ἀναθεματῆσαι BV corr. v 17 ἐκλίθησαν V corr. v 19 ἄλλων ἐθνῶν BV corr. Ha 23 βασιλείδος B

φεισάμενος δαπάνης, ἀλλὰ συνάξας πάντας τοὺς μοναχοὺς ὡς ὀνόματα χίλια μετ' ἄλλων εὐλαβῶν κληρικῶν καὶ λαϊκῶν καὶ ἐπισκόπων ἐποίησεν εὐφροσύνην τὰς πάσας ἡμέρας τοῦ ἁγίου πάσχα. καὶ ἦν θεάσασθαι ἀγγελικοὺς χοροὺς οὐ μόνον ἐν τῇ ἀκολουθίᾳ τῇ ἐκκλησιαστικῇ, ἀλλὰ καὶ ἐν ταῖς ὥραις, ἡνίκα ἐγεύοντο. οὐ μόνον γὰρ ἦν ἡ τράπεζα αἰσθητή, ἀλλὰ καὶ πνευματική. μετὰ γὰρ τὸ ὄψον ἐλέγετο ψαλμὸς καὶ μετὰ τὸ πόμα ὕμνος. οἱ δὲ τῆς εἰδωλομανίας ὁρῶντες τὰ γινόμενα ἐτήκοντο τῇ καρδίᾳ. καὶ γὰρ πανταχόθεν ἤρχοντο ξένοι θεάσασθαι τὸ κάλλος καὶ τὸ μέγεθος τῆς εἰρημένης ἁγίας ἐκκλησίας· ἐλέγετο γὰρ πασῶν τῶν ἐκκλησιῶν τῶν κατ'
98 ἐκεῖνο καιροῦ μείζων. τούτου ἕνεκεν ὅτε τοὺς θεμελίους ἔβαλεν τὴν ἀρχὴν ἐνεκαλεῖτο παρά τινων πιστῶν, ὅτι μεγάλην αὐτὴν ἐχάραξεν ὀλίγων ὄντων Χριστιανῶν ἐν τῇ πόλει, καὶ ἀποκριθεὶς ὁ ὁσιώτατος Πορφύριος εἶπεν· Μὴ ἔσηται· ἡ πίστις ὑμῶν ὀλίγη· εὔελπις γάρ εἰμι εἰς τὸν κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ, ὅτι πληθύνει τὴν ποίμνην αὐτοῦ καὶ μεγαλύνει πλέον τὸν οἶκον τοῦτον ἐκ τοῦ μὴ δύνασθαι τὰ πλήθη τῶν Χριστιανῶν χωρεῖν· οὔτε γάρ ἐστιν ἀνθρώπινον τὸ τῶν Χριστιανῶν δόγμα, ἵνα πρὸς καιρὸν ὀφθῇ καὶ καταλυθῇ, ἀλλὰ θεϊκὸν καὶ αὔξησιν ἐπιδεχόμενον. ταῦτα καὶ τὰ τοιαῦτα ἀεὶ διελέγετο ὁ μακάριος τοῖς πιστοῖς, οὐ μόνον ἐν τῇ ἐκκλησίᾳ ἀλλὰ καὶ ἐν ἑκάστῳ τόπῳ φωταγωγῶν

1 φησάμενος BV corr. v 2 ἄλων B 5 χωροὺς B 6 εὐωχίαις pro ὥραις voluerat Eb ἐγένοντο BV cf. 16, 2 7 ἐσθητή BV corr. v 8 μετοπόμα B 9 γενόμενα B 10 ἐτίκοντο B 12 ἐλέγετω B 13 ἐκεῖνο ex ἐκείνου V 17 ἔσηται: latere videtur coni. aor. II plur. 19 μεγαλύνη B 21 οὔτε: οὕτω V οὔπω V²v 22 ὠφθῇ BV corr. v 25 φωταγωγὸν B

καὶ ὠφελῶν τὸν φιλόχριστον λαόν. μετὰ δὲ τὰς ἡμέρας τῆς ἑορτῆς τὰ πλήθη μετ' εἰρήνης ἕκαστον εἰς τὰ ἴδια ἀπέλυεν. μετὰ δὲ τὸ κτίσαι καὶ ἁγιάσαι τὴν εἰρη- 94
μένην ἁγίαν ἐκκλησίαν ἔταξεν δίδοσθαι ἑκάστῳ ξένῳ ἐνδημοῦντι τῇ πόλει μιᾶς ἡμέρας τὸ ἀνάλωμα, ἐχορήγει δὲ καὶ ἑκάστῳ πτωχῷ ξένῳ τε καὶ πολίτῃ καθ' ἑκάστην ἡμέραν ἀνὰ ὀβολοὺς ἓξ ἐκτὸς ὧν αὐτὸς παρεῖχεν δι' ἑαυτοῦ τοῖς προσερχομένοις αὐτῷ ἔν τε ἱματίοις καὶ ἀργυρίῳ καὶ χρυσίῳ, ἑκάστῳ παρέχων πρὸς τὴν αὐτοῦ ἀξίαν, καὶ οὐδεὶς ἦν ἄμοιρος τῶν δεομένων τῶν αὐτοῦ χαρισμάτων. ἐν δὲ ταῖς ἡμέραις τῶν νηστειῶν τῆς ἁγίας πασχαλίας | ἐχορήγει ἑκάστῳ πτωχῷ ἀνὰ ὀβολοὺς δέκα ἐπὶ ἡμέρας τεσσαράκοντα, παρακελευσάμενος ἐν τῇ αὐτοῦ εὐσεβεῖ διαθήκῃ πάντως δίδοσθαι τοὺς εἰρημένους δέκα ὀβολοὺς τὰς τεσσαράκοντα ἡμέρας, ἀφορίσας πρόσοδον ἐξ ἧς αὐτοὺς δίδοσθαι βουληθεὶς ἐν τῇ εἰρημένῃ διαθήκῃ ἐνέταξεν, εἰ μὴ χορηγηθείη ταῦτα καθ' ἕκαστον ἐνιαυτόν, τὴν εἰρημένην πρόσοδον ἔρχεσθαι εἰς τὴν ἁγίαν ἐκκλησίαν Καισαρείας. ταῦτα δὲ ὕστερον ἐγένετο.

οἱ δὲ τῆς εἰδωλομανίας ὅσον ἐθεώρουν προκόπτοντα 95
τὸν Χριστιανισμόν, τοσοῦτον ἐμαίνοντο καὶ ἐσπούδαζον κακῶσαι τοὺς Χριστιανοὺς καὶ πρό γε πάντων τὸν ὅσιον αὐτῶν ποιμένα Πορφύριον. ποτὲ γὰρ ἀντιβολῆς γενομένης χάριν χωρίων μεταξὺ τοῦ οἰκονόμου τῆς ἁγίας ἐκ-

1 ὀφελῶν B 2 πλήθει B 3 ἀπέλυον BV corr. Ha κτήσαι B 4 διδοῦσθαι BV corr. Ha 5 ἐνδιμοῦντι B ἐχωρίγει B 8 ἱματίους B ἱματίω̣ V 10 ἄμυρος BV corr. v 12 ἐχωρίγει B -ήγη V corr. v δέκα: ῑ B 14 εὐσεβῆ BV corr. v 16 δίδωσθαι B εἰρημένῃ: εἰ sscr. V 18 ἐνιαυτόν: χρόνον V 19 κεσαρεῖας B 20 προκόπτωντα B τὸν add. B² προκόπτοντας τοὺς χριστιανούς V

κληcίαc καὶ Caμψύχου τοῦ πρωτεύοντοc, ὁ θεοφιλὴc Βαρωχᾶc ὁρῶν τὸν οἰκονόμον ὑβριζόμενον ἀντελάβετο αὐτοῦ καὶ ἤρξατο ὑβρίζειν τὸν εἰρημένον Cάμψυχον. ἀκούcαντεc δὲ καὶ οἱ λοιποὶ τοῦ βουλευτηρίου cυναχθέντεc ἐπῆλθον τῷ τε οἰκονόμῳ καὶ τῷ θεοφιλεῖ Βαρωχᾷ, cυνανέβηcαν δὲ τοῖc βουλευταῖc καὶ πολλοὶ τῶν πολιτῶν πρόφαcιν εὑρόντεc τοῦ κακῶcαι τοὺc ἀπὸ τῆc πίcτεωc, καὶ ὡc ἂν εἴποι τιc ἀπὸ μικροῦ cπινθῆροc τοcοῦτο πῦρ ἥφθη καὶ ἐξεκαύθη ὡc κινδυνεῦcαι πάνταc τοὺc Χριcτιανοὺc ἀπολέcθαι. τοcοῦτον γὰρ ἐμάνηcαν οἱ εἰδωλολάτραι ὡc αὐτοὺc ἐπᾶραι καὶ ξίφη καὶ ῥόπαλα καὶ φονεῦcαι ὀνόματα ἑπτὰ καὶ ἄλλουc πολλοὺc πλῆξαι·
96 εἶτα μὴ ἀρκεcθέντεc τούτοιc ἐπ' αὐτὸν τὸν ποιμένα ὥρμηcαν. προδραμόντεc δέ τινεc χαίροντεc τῷ ἀγαθῷ ἀπήγγειλαν τῷ ὁcιωτάτῳ ἐπιcκόπῳ τὴν καταδρομὴν τοῦ πλήθουc. ἀκούcαc δὲ ὁ μακάριοc προcκαλεcάμενόc με εἶπεν· Φύγωμεν, ἀδελφέ, καὶ κρυβῶμεν μικρὸν ἕωc οὗ παρέλθῃ ἡ ὀργὴ κυρίου. καὶ τοιχοβατήcαντεc ἐφύγομεν διὰ τῶν δωμάτων. οἱ δὲ εἰδωλομανεῖc κατεάξαντεc τὰc θύραc τοῦ ἐπιcκοπείου ἐπειcῆλθον καὶ μὴ εὑρόντεc τὸν ἐν ἁγίοιc Πορφύριον πάντα τὰ ἐκεῖ εὑρεθέντα διήρ-
97 παcαν. ἐγὼ δὲ καὶ ὁ μακάριοc Πορφύριοc φυγόντεc

1 προτεύοντοc V corr. v 5 τό τε B θεοφιλῆ V corr. v 7 εὑρῶντεc V corr. v 8 ὡc ἐὰν BV corr. Ha 11 ξίφει B 14 ὅρμηcαν B 15 ἀπήγγειλαν: λαν sscr. V² -γειλαν v 18 τυχοβ. B τ[οι]χοβ. c. ras. V ἐφύγωμεν B 19 δομάτων BV corr. Ha qui add. 'Matth. 10, 27 ἐπὶ τῶν δωμάτων, super tecta. Gloss. Philox. tectum cτέγη, cτεγνόν, καὶ δῶμα. Cyr. δῶμα| tectum. [cf. CGL II 195, 50. 282, 41] cf. Valckenar. schol. in N. T. t. I p. 109 et 461 et Cangium in doma' 20 ἐπιcκοπίου BV corr. Ha εὑρῶντεc V corr. v 22 ἐγώ τε V

διὰ τῶν δωμάτων εὕραμεν παιδίσκην ὡς ἐτῶν δέκα τεσσάρων, ἥτις ἐπιγνοῦσα τὸν ὅσιον ἐπίσκοπον προσέπεσεν τοῖς ποσὶν αὐτοῦ. ὁ δὲ μακάριος ἐπηρώτησεν αὐτὴν τίς ἐτύγχανεν καὶ ποίων γονέων. ἡ δὲ παιδίσκη ἀποκριθεῖσα εἶπεν ὅτι ὀρφανὴ τυγχάνει ἔκ τε πατρὸς καὶ μητρός, μάμμην δὲ ἔλεγεν ἔχειν γραῦν τῷ σώματι ἀσθενῆ, καὶ αὐτὴν ἐργάζεσθαι καὶ τρέφειν ἑαυτὴν καὶ τὴν αὐτῆς μάμμην. ἐπηρώτα δὲ | αὐτὴν εἰ Χριστιανὴ ὑπῆρχεν, ἡ δὲ πάλιν εἶπεν μὴ εἶναι, ἀλλ' ἐπιθυμεῖν ἐκ πολλοῦ· Εἴπερ εἰμὶ ἀξία. ὁ δὲ εὔσπλαγχνος Πορφύριος ἀκούσας τὸν λόγον τῆς παιδίσκης καὶ κατανυγεὶς ἐδάκρυσεν εἰπών· Πῶς πρόχειρον ὑπάρχει εἰς τὸ ἀγαθὸν τῶν Γαζαίων γένος. ἀλλ' ὁ ἀντικείμενος σπουδάζει ἐμποδίζειν τῇ τοιαύτῃ προαιρέσει, ὃν ὁ κύριος πατάξει τῷ λόγῳ τοῦ στόματος αὐτοῦ. εἶπεν δὲ τῇ κόρῃ· Ἄγαγε ἡμῖν ἐνταῦθα ψίαθον ἐν τῷ δωματίῳ τούτῳ, ἵνα μείνωμεν ἐνταῦθα ἕως οὗ καταστῇ ὁ θόρυβος τῆς πόλεως, καὶ μὴ ἀπαγγείλῃς τινὶ ὅτι ἐνταῦθά ἐσμεν. ἡ δὲ ὅρκοις διεβεβαιοῦτο μὴ ἐκφαίνειν μηδὲ τῇ μάμμῃ αὐτῆς. κατ- 98
ελθοῦσα δὲ διά τινος οἰκίσκου εἰς τὸν αὐτῆς οἶκον ἤγαγεν τὸ ψιάθιον καὶ τύλην ἀχύρων, ⟨καὶ⟩ καθαπλώσασα τὸν ψίαθον ὑπέβαλεν τὴν τύλην, καὶ προσπεσοῦσα τοῖς ποσὶν τοῦ μακαρίου παρεκάλει αὐτὸν γεύσασθαι τῶν μετρίων αὐτῆς βρωμάτων καὶ μὴ ἀναξιοπαθῆσαι ἐπὶ τῇ πτωχείᾳ αὐτῆς· ἦν γὰρ καὶ πρὸς ἑσπέραν. ὁ δὲ ὅσιος

1 δομάτων BV corr. Ha παιδίσκη V corr. V² 5 τυγχάνη BV corr. v 6 τὸ B 7 ἀσθενὴν BV corr. Ha 9 ἡ in ras. V 10 εἰμὴ B 13 f. ⟨τὸ⟩ τῶν 16 δοματίω BV corr. Ha 19 διὲβεβαιούτω B 21 τὸ ψιάθιον . . . καθαπλώσασα om. V στύλην ἄχυρον B 22 τὴν ψίαθον V 23 ποσὶ V 24 ἀξιωπαθῆσαι BV corr. Ha 25 πτωχία B

θέλων μιμητὴς γενέσθαι τοῦ μεγάλου προφήτου Ἠλίου εἶπεν τῇ κόρῃ· Σπούδασον, θύγατερ, καὶ ἄγαγε, ἵνα σοι ἀποδῷ ὁ κύριος δι' ἐμοῦ πνευματικὴν τροφὴν καὶ σαρκικήν. ἡ δὲ σπεύσασα κατέβη καὶ ἀπελθοῦσα ἠγόρασεν ἄρτον καὶ ἐλαίας καὶ τυρὸν καὶ βρεκτὸν ὄσπριον καὶ οἶνον, ἤγαγεν δὲ πάντα καὶ παρέθηκεν ἐνώπιον ἡμῶν εἰποῦσα· Λάβετε, κύριοί μου, καὶ εὐλογήσατε τὴν πτωχείαν μου. ὁ δὲ μακάριος πάλιν κατανυγεὶς ἐδάκρυσεν, προεωρακὼς ἣν ἤμελλεν ἔχειν πίστιν εἰς τὸν Χριστόν. καὶ ἀναστάντες καὶ ποιήσαντες τὰς συνήθεις εὐχὰς καὶ καθίσαντες ... ἐγὼ καὶ τυροῦ καὶ οἴνου μετέλαβον, ὁ δὲ ὅσιος ἄρτου καὶ βρεκτοῦ ὀσπρίου καὶ ὕδατος. καὶ ἀπολύσαντες τὴν κόρην πρὸς τὴν αὐτῆς μάμμην ἡμεῖς ὑπνώσαμεν ἐν τῷ δωματίῳ· ἦν γὰρ καὶ θέρους ὥρα. ἐπηρωτήσαμεν δὲ καὶ τὸ ὄνομα τῆς κόρης, εἶπεν δέ· Σαλαφθά, ὃ ἑρμηνεύεται Ἑλληνιστὶ Εἰρήνη. ἐποιήσαμεν δὲ καὶ τὴν ἑξῆς ἐν τῷ δωματίῳ, τῆς καλῆς Εἰρήνης ποιούσης ἡμῖν πᾶσαν ἀπόκρισιν μετὰ πολλῆς προθυμίας.
99 ὡς δὲ ἔγνωμεν ὅτι κατέστη ὁ θόρυβος τῆς πόλεως, ἐπορεύθημεν διὰ τῆς νυκτὸς εἰς τὴν ἁγίαν ἐκκλησίαν καὶ ἀνελθόντες εἰς τὸ ἐπισκοπεῖον οὐδὲν εὕραμεν ἐν αὐτῷ εἰ μὴ τὸν θεοφιλῆ Βαρωχᾶν κείμενον καὶ ἐσχάτως ἔχοντα

1 cf. I Reg. 17, 10 sq.

1 μημητὴς B 2 σὺ BV corr. Ha 4 ἀνελθοῦσα BV corr. Ha 5 ἐλ[αί]ας c. ras. V 7 λάβεται B πτωχίαν B 8 ἐδά[κρυ]σεν c. ras. B 9 προεωρακὸς B ἤμελεν B εἴμελλεν V corr. v 11 καθήσαντες B spatium vacuum relictum B μετελάβομεν V f. nihil deest 13 ἑαυτῆς BV corr. Ha 14 δοματίω BV corr. Ha 15 ἐπερωτήσαμεν BV corr. v 16 Σαλάνθα P cf. Mazochius apud Migne PG LXV p. 1260[B] ἑλληνιστή BV corr. v 17 δοματίω V 21 εἰς τό: ἐν τῷ V ἐπισκοπίον B -ίω V corr. Ha εὕρομεν v 22 μή: μὶ B θεοφιλεῖ B

ἐκ τῶν ἐπενεχθέντων αὐτῷ πληγῶν παρὰ τῶν ἀθέων καὶ ἀσεβῶν εἰδωλολατρῶν. μετὰ δὲ ὀλίγας ἡμέρας γνοὺς τὰ γενόμενα ἐν τῇ πόλει ὁ ὑπατικός (Κλᾶρος δὲ ἐκαλεῖτο), πέμπει κομενταρήσιον | μετὰ πολλῆς βοηθείας καὶ ἀσφαλίζεται οὓς ἐνέδειξαν οἱ δημοσιεύοντες καὶ παριστᾷ εἰς Καισάρειαν, καὶ τοὺς μὲν ἐτιμωρήσατο, τοὺς δὲ βουνευρίσας ἀπέλυσεν, καὶ ποιήσας οὐ μικρὸν φόβον οὕτως κατέστησεν τὴν πόλιν.

100 μεθ' ἡμέρας δὲ ὀλίγας ἀνεμνήσθη ὁ ἐν ἁγίοις Πορφύριος τῆς ἀγαθῆς ἐκείνης κόρης τῆς ὑποδεξαμένης ἡμᾶς ⟨καὶ⟩ μετεπέμψατο αὐτὴν δι' ἐμοῦ· ἡ δὲ δρομαία παρεγένετο, ἔχουσα καὶ ἄλλην γυναῖκα ἣν ἔλεγεν θείαν εἶναι. εἰσελθοῦσαι δὲ πρὸς τὸν μακάριον ἐπίσκοπον προσέπεσαν τοῖς ποσὶν αὐτοῦ· ὃς εὐμενῶς ταύτας ἐδέξατο ὡς πατὴρ φιλόστοργος. εἶπεν δὲ τῇ κόρῃ· Ἀληθῶς, θύγατερ, ἐπιθυμεῖς γενέσθαι Χριστιανή; ἡ δὲ ἀποκριθεῖσα εἶπεν· Καὶ ἤδη εἶπόν σοι, κύριέ μου, ὅτι ἐκ πολλοῦ ἔχω τὴν ἐπιθυμίαν ταύτην καὶ νῦν παρήγαγον μάρτυρα τὴν ἐμὴν θείαν, ἥτις καὶ αὐτὴ τῆς αὐτῆς ἐστιν ἐπιθυμίας. ὁ δὲ περιχαρὴς γενόμενος εἶπεν αὐτῇ· Ἀνδρίζου καὶ ἴσχυε, τέκνον. καὶ προσκαλεσάμενος τὸν οἰκονόμον τῆς ἁγίας ἐκκλησίας ἐπέτρεψεν αὐτῷ παρέχειν αὐτῇ τε καὶ τῇ αὐτῆς μάμμῃ ἀργυρίου μιλιαρήσια τέσσαρα καθ' ἑκάστην ἡμέραν, τῇ δὲ αὐτῆς θείᾳ ἔδωκεν νόμισμα ἕν, καὶ σφρα-

1 ἐπενεχθεισῶν v 'de participiis cum nominibus genere non congruentibus dixerunt Reisk. animadv. in Polyb. p. 390, Lobeck. Phryn. p. 448 et 751, Agl. p. 216, Bekk. in Zos. IV 29' Ha 5 παρηστᾶ V corr. v 6 βουνευρήσας B 11 καὶ add. Ha 13 προσέπεσον v 15 θύγατηρ BV corr. v 19 ἥτης B 20 αὐτῇ . . . 22 παρέχειν om. V 23 μηλιαρήσια V corr. v 24 ἔδοκεν B σφραγήσας B

γίcας αὐτὰς τῷ cημείῳ τοῦ cταυροῦ ἀπέλυcεν, παραγγείλας αὐταῖς cχολάζειν ταῖς εὐχαῖς καὶ τῇ κατηχήcει τῶν κατηχουμένων. ἔπεμψεν δὲ καὶ εἰς τὸν αὐτῆς οἶκον τὸν θεοcεβῆ Τιμόθεον τὸν πρεcβύτερον καὶ κατηχητὴν καὶ ἐπέτρεψεν αὐτῷ cφραγίcαι τὴν μάμμην τῆς κόρης· ὡς γὰρ προεῖπον τὸ cῶμα εἶχεν cυμπεπαρμένον. καὶ κατηχηθεῖcαι αἱ τρεῖς ὀλίγον χρόνον ἠξιώθηcαν τοῦ τιμίου βα-
101 πτίcματος. μετὰ δὲ τὸ ἀποθέcθαι τὸ ἅγιον cχῆμα προcκαλεcάμενος ὁ ὅcιος τὴν εἰρημένην κόρην εἶπεν αὐτῇ· Θέλεις ζευγνύωμέν cε ἀνδρὶ πρὸς γάμον ἔννομον; καὶ γὰρ ἔcτιν cοι καιρὸς τοῦ cυμβιῶcαι· οὔτε γὰρ ἀπηγόρευται τῇ ἡμετέρᾳ γραφῇ ὁ cεμνὸς γάμος. ἡ δὲ κόρη ἀκούcαcα τὸν λόγον τοῦ ὁcίου ἤρξατο δακρύειν καὶ λέγειν· Πάτερ ἀγαθέ, μεθ' ὅ με ἔζευξας ἀνδρὶ μεγάλῳ, ἀποζεῦξαί με θέλεις ἐκείνου καὶ ἐκδοῦναι ταπεινῷ καὶ μηδαμινῷ; μηδαμῶς, κύριέ μου, τοῦτο ποιήcῃς. ὁ δὲ ἐν ἁγίοις cυναρπαγεὶς εἶπεν· Καὶ τίς ἐcτιν οὗτος ὃν ἔζευξά cοι; ἡ δὲ ἀπεκρίνατο· Ἰηcοῦς Χριcτός, ὁ cωτὴρ τῶν ψυχῶν ἡμῶν, ὁ ἀληθινός μου νυμφίος, οὗ οὐκ ἀποζεύγνυμαι εἰς τὸν αἰῶνα. ἀκούcας δὲ ὁ ἐν ἁγίοις καὶ κατανυγεὶς ἐδάκρυcεν, ὥcτε ἐκ τῆς πολλῆς κατανύξεως περιλαβεῖν τὴν κόρην καὶ τὴν κεφαλὴν αὐτῆς καταφιλῆcαι· ὄντως γὰρ ἦν τελείως ἀπαθὴς καὶ ἀπὸ πολλῆς εὐcπλαγχνίας ἐγγὺς ἔχων τὸ δάκρυον. καὶ ἡμεῖς δὲ οἱ περὶ αὐτὸν θεαcάμενοι τὴν χάριν τοῦ ἁγίου πνεύ-

4 [πρ]εcβύτερον c. ras. V 9 αὐτῇ ex αὐτὴν V 10 ζεύγνωμέν cε BV corr. v 11 βιῶcαι BV corr. Ha 12 ἡμετέ V ρα add. V² 16 μηδαμηνῷ BV corr. v ποιήcεις B 20 ἀποζεύγνοιμε B -νυμε V corr. v 22 κόρην in ras. V 23 ἀπαθεῖς B εὐπαθὴς Ha, an cυμπαθὴς 24 δάκρυων B 25 πνεύματος: πατρὸς V

ματος τὴν δοθεῖcαν τῇ θεοφιλεῖ κόρῃ ἐδοξάcαμεν τὸν θεὸν τὸν δωρούμενον cοφίαν καὶ χάριν τοῖc ἐκλεκτοῖc αὐτοῦ. | ἀπέλυcεν δὲ τὴν κόρην ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. cυνέβη δὲ ἐν αὐταῖc ταῖc ἡμέραιc τὴν γραῦν ἀναπαῆναι 102 καὶ ἀπελθεῖν πρὸc κύριον. τότε προcκαλεcάμενοc τὴν κόρην μετεπέμψατο τὴν θεοcεβῆ Μαναρίδα τὴν διάκονον, τὴν διερμηνευομένην καὶ αὐτὴν κατὰ μὲν τὴν Ἑλληνίδα γλῶccαν Φωτεινήν, ταύτῃ παρέθετο τὴν Cαλαφθάν, δοὺc αὐτῇ τὸ κανονικὸν cχῆμα, καὶ παραθέμενοc αὐτὰc τῷ θεῷ ἀπέλυcεν μετ' εἰρήνηc. τοιαύτην δὲ ἀνεδέξατο πολιτείαν οἵαν οὐκ ἄλλη κατ' ἐκεῖνον τὸν χρόνον ἔcχεν, καθ' ἡμέραν νηcτεύουcα καὶ μετὰ τὴν νηcτείαν μεταλαμβάνουcα ὀλίγου ἄρτου μετὰ ἁλῶν καὶ ὀcπρίου βρεκτοῦ ἢ λεπτολαχάνου καὶ ὕδατοc μόνου· τοῦ γὰρ οἴνου παντελῶc οὐ μετελάμβανεν. ἐν δὲ ταῖc ἑορταῖc μετελάμβανεν καὶ ἐλαίου καὶ ἐλαίαc ἤcθιεν, οὐδὲν δὲ ἄλλο τῶν διὰ πυρὸc γενομένων ἐγεύετο, ἐν δὲ τῇ τεccαρακοcτῇ τῶν νηcτειῶν τὰc πάcαc ἡμέραc διὰ δύο ἤcθιεν βρεκτὰ ὄcπρια ἢ λεπτολάχανα ἄνευ ἄρτου, τὴν δὲ ἁγίαν παcχαλίαν πᾶcαν εἷλκεν τὴν ἑβδομάδα μηδενὸc μεταλαμβάνουcα, εἰ μὴ τῇ ἁγίᾳ πέμπτῃ μετὰ τὴν ἁγίαν κοινωνίαν ὕδατοc θερμοῦ. καὶ τοcοῦτον κατέτηξεν αὐτῆc τὸ cῶμα ὡc νομίζειν τοὺc ὁρῶνταc αὐτὴν cκιὰν θεωρεῖν. ἐγένετο δὲ ὑπόδειγμα καὶ ἄλλαιc πολλαῖc· ἐζήλωcαν γὰρ τὸν βίον καὶ τὴν πολιτείαν τῆc ἁγίαc κόρηc Cαλαφθᾶc, ἥτιc ἕωc τοῦ νῦν δοκεῖ ζῆν· νενέκρωται γὰρ τῷ κόcμῳ,

1 δοθῆcαν B 8 φωτινήν B ταύτην BV corr. Ha f. ⟨καὶ⟩ τ. 10 δὲ om. V 13 ἁλῶν ex ἄλλων B ἁλὸc V ὀcπρέου V 16 ἐλέαc B 17 ἐγεύγετο B 20 ἧλκεν B 22 κατέτιξεν B 23 ὁρόνταc B 26 ἥτηc B ζεῖν B τῷ ex τὸ et κόcμῳ in ras V

τῷ δὲ Χριστῷ ζῇ καὶ σὺν αὐτῷ ἐστιν διὰ παντός· ἧς τῶν ἁγίων εὐχῶν μέρος ἔχωμεν. καὶ ταῦτα μὲν περὶ τῆς ὁσίας κόρης Σαλαφθᾶς εἰρήσθω.

103 ὁ δὲ μακαριώτατος ἐπίσκοπος Πορφύριος καταστήσας τόν τε ἐκκλησιαστικὸν κανόνα καὶ τὴν πᾶσαν ἀκολουθίαν, ἐπιζήσας ἄλλα ὀλίγα ἔτη μετὰ τὸ ἁγιάσαι τὴν μεγάλην ἐκκλησίαν, περιπεσὼν ἀρρωστίᾳ διετύπωσεν εὐσεβῆ διαθήκην, ληγατεύσας πολλούς, καὶ παραθέμενος πάντας τοὺς τοῦ φιλοχρίστου λαοῦ τῷ θεῷ ἐν εἰρήνῃ ἐκοιμήθη μετὰ τῶν ἁγίων μηνὶ Δύστρῳ δευτέρᾳ ἔτους κατὰ Γαζαίους ὀγδοηκοστοῦ τετρακοσιοστοῦ, ἐπισκοπήσας ἔτη κδ̄ καὶ μῆνας ια̅ καὶ ἡμέρας η̄, τὸν καλὸν ἀγῶνα τετελεκὼς πρὸς τοὺς εἰδωλομανεῖς ἕως τῆς ἡμέρας τῆς κοιμήσεως αὐτοῦ. καὶ νῦν ἔστιν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, πρεσβεύων μετὰ πάντων τῶν ἁγίων ὑπὲρ ἡμῶν, ὧν ταῖς εὐχαῖς ἐλεήσῃ ἡμᾶς ὁ πατὴρ καὶ θεὸς σὺν υἱῷ καὶ ἁγίῳ πνεύματι, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

2 ἔχοιμεν Eb 5 κανώνα B ἀκολουθεῖαν B 6 ἄλα B 7 μεγάλην: ἁγίαν V 8 λιγατεύσας BV corr. v 11 ἐπισκοπίσας B 12 η̄: ὀκτὼ B 13 εἰδωλωμανεῖς B 16 ἐλεήσει V -σειεν Ha

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΕΝ ΣΥΝΤΟΜΩΙ ΤΟΥ ΑΓΙΟΥ ΠΟΡΦΥΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΓΑΖΗΣ. f. 222

Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Πορφύριος οὗτος ὥρμητο ἐκ τῆς Θεσσαλονικέων πόλεως, πλουσίων καὶ εὐγενῶν γονέων ὑπάρχων υἱός, ἐπὶ τῆς βασιλείας Ἀρκαδίου καὶ Ὁνωρίου. ἀπάρας δὲ τῆς ἐνεγκαμένης καὶ πλεύσας εἰς Αἴγυπτον δέχεται τὸ σχῆμα τοῦ μονήρους βίου ἐν τῇ Σκήτει. πέμπτον δὲ ἔτος σὺν τοῖς ἁγίοις πατράσι διατρίψας ἦλ|θεν εἰς Ἱεροσόλυμα προσεδρεύων τοῖς ἁγίοις τόποις, κἀκεῖθεν ἀποστέλλει Μάρκον τὸν διακονοῦντα αὐτῷ μετὰ γραμμάτων ἐν Θεσσαλονίκῃ· ἣν καταλαβὼν καὶ μερίσας τὴν οὐσίαν αὐτοῦ μετὰ τῶν ἀδελφῶν αὐτοῦ ἤγαγεν αὐτῷ τὴν τούτων τιμὴν νομίσματα τρισχίλια, ἄργυρον δὲ καὶ χρυσὸν καὶ ἐσθήματα ἑτέρων νομισμάτων χιλίων τετρακοσίων· ἅπερ λαβὼν ὕστερον διέδωκεν πτωχοῖς καὶ μοναστηρίοις. πάσχοντος οὖν αὐτοῦ πρώην τὸ ἧπαρ, εὗρεν αὐτὸν ὁ διακονητὴς αὐτοῦ ἐλθὼν ὑγιῆ καὶ ἐρωτήσας τὸν τρόπον τῆς ἰάσεως, ἔφη ὅτι Ὄντος μου ἐν τῇ ἀγρυπνίᾳ τῆς ἁγίας Ἀναστάσεως, κατέσχεν με ὀδύνη ἀφόρητος. ἀνῆλθον ἐν τῷ ἁγίῳ κρανίῳ καὶ ἔθηκα ἑαυτόν, καὶ ἰδοὺ ὁρῶ ἐν ἐκστάσει τὸν σωτῆρα καθηλωμένον ἐν τῷ σταυρῷ καὶ ἄρχομαι κράζειν τὴν φωνὴν

EPITOMA COD. PARISINI 1452 4 θεσαλονικέων 6 ὠνορίου 8 σκήτη 11 θεσαλονίκη 17 ἧπαρ.

τοῦ ληϲτοῦ ‘μνήϲθητί μου κύριε ἐν τῇ βαϲιλείᾳ ϲου’ καὶ λέγει ὁ ϲωτὴρ τῷ ληϲτῇ· Κάτελθε ἐκ τοῦ ϲταυροῦ καὶ ϲῶϲον ἐκεῖνον τὸν ἀνακείμενον ὥϲπερ καὶ ϲὺ ἐϲώθηϲ.
f. 222ᵛ καὶ κατελθὼν περιέλαβεν καὶ κατεφίληϲέν με | καὶ προτείναϲ τὴν αὐτοῦ δεξιὰν ἀνέϲτηϲέν με λέγων· Ἐλθὲ πρὸϲ τὸν ϲωτῆρα. καὶ εὐθέωϲ ἀνέϲτην καὶ ἔδραμον πρὸϲ αὐτὸν καὶ ὁρῶ αὐτὸν καταβάντα ἐκ τοῦ ϲταυροῦ καὶ λέγοντά μοι· Λάβε τοῦτο τὸ ξύλον καὶ φύλαξον αὐτό. καὶ λαβὼν καὶ βαϲτάϲαϲ ἦλθον εἰϲ ἐμαυτὸν ἐκ τῆϲ ἐκϲτάϲεωϲ καὶ οὐκέτι μοι ὀδύνη ἐγένετο.

ἦν οὖν ὁ ὅϲιοϲ πάϲῃ ϲοφίᾳ ἐξηϲκημένοϲ, ἀποϲτομίζων Ἰουδαίουϲ καὶ Ἕλληναϲ καὶ αἱρετ̣ικούϲ, πάϲῃ ἀρετῇ κατακεκοϲμημένοϲ· ϲκυτοτομικὴν δὲ τέχνην μετήρχετο, πλύνων δέρματα καὶ βύρϲαϲ καὶ ῥάπτων. χειροτονεῖται ο̣ὖ̣ν̣ πρεϲβύτεροϲ ὑπὸ Πραϋλίου τοῦ τηνικαῦτα πατριάρχου Ἱεροϲολύμων ὑπάρχων ἐτῶν ϲαράκοντα πέντε. καὶ ἐγχειρίζει αὐτῷ τὴν φυλακὴν τοῦ τιμίου ϲταυροῦ· ὡϲ πληρω[θῆν]αι τὴν πρώην αὐτῷ δι[. . . .]ϲαν ὅραϲιν. ἦν δὲ ἡ τροφὴ αὐτοῦ ἄρτοϲ καὶ λάχανα μετὰ δύϲιν ἡλίου.

τοῦ οὖν ἐπιϲκόπου Γάζηϲ Εἰρηνίωνοϲ μετὰ ἐνιαυτὸν κοιμηθέντοϲ ἦλθον οἱ Γαζαῖοι πρὸϲ Ἰωάννην τὸν μητροπολίτην Καιϲαρείαϲ Παλαιϲτίνηϲ αἰτοῦντεϲ ἐπί|ϲκοπον. καὶ κηρύξ[αϲ νηϲτεί]αν ἐπὶ τοῦτο, ἀποκ[αλύπτεται] αὐτῷ Πορφύριοϲ. ὁρᾷ [τότε ὁ] μακάριοϲ Πορφύριοϲ τὸν κύριον ἐν ὁράματι λέγοντα αὐτῷ· Παράδοϲ τὴν παραθήκην ἣν παρεθέμην· ζεῦξαι γάρ ϲε θέλω γυναικὶ ταπεινῇ μὲν ἀλλ’ εὐπορωτάτῃ. ἐν τούτοιϲ ο̣ὖ̣ν̣ μετὰ μικρὸν ἀποϲτέλλει αὐτὸν ὁ πατριάρχηϲ Πραῦλιοϲ πρὸϲ Ἰωάννην τὸν Καιϲαρείαϲ μητροπολίτην αἰτήϲαντοϲ αὐτοῦ τοῦτον

23 cf. 85, 9 sim.

20 εἰρηνιῶνοϲ   26 ταπεινὴ

αὐτῷ ἐκπεμφθῆναι λόγῳ ζητήματοϲ γραφικοῦ. ὃν καταλαβόντα χειροτονεῖ ἐπίϲκοπον Γάζηϲ δακρύοντα. καὶ παραδοθεὶϲ τοῖϲ Γαζαίοιϲ ἦλθεν εἰϲ τὸν ναὸν τῆϲ ἁγίαϲ Εἰρήνηϲ, ὃν Εἰρηνίων ὁ πρὸ αὐτοῦ ἐπίϲκοποϲ ᾠκοδόμηϲεν.

μετὰ δὲ τὴν εἴϲοδον αὐτοῦ ἀβροχίαϲ γενομένηϲ οἱ Ἕλληνεϲ τὴν αἰτίαν τῷ ὁϲίῳ Πορφυρίῳ ἐπέγραφον, ὡϲ χρηματιϲθέντοϲ παρὰ Μάρνα τοῦ αὐτῶν θεοῦ ὅτι, φηϲί, Κακοπόδινόϲ ἐϲτι Πορφυρίων ὁ ἐπίϲκοποϲ. αὐτὸϲ δὲ κηρύξαϲ παννυχίδα καὶ εὐξάμενοϲ μετὰ τοῖϲ Χριϲτιανοῖϲ, ἐποίηϲεν ὁ κύριοϲ γενέϲθαι ὄμβρον μέγαν, ὥϲτε πολλοὺϲ τῶν Ἑλλήνων πι|[ϲτεύονταϲ] λέγειν ὅτι Ὁ Χριϲτὸϲ f. 228 μόνοϲ [θεόϲ], αὐτὸϲ μόνοϲ ἐνίκηϲεν. [ἐπίϲτ]ευϲαν δὲ τότε ἄνδρεϲ ἑ[κατ]ὸν εἴκοϲι ἑπτὰ καὶ παῖδεϲ τέϲϲαρεϲ.

ὄντων δὲ τῶν ἀρχόντων ἔτι ἀπίϲτων πολλὰ κακὰ τοῖϲ Χριϲτιανοῖϲ ἐπεδείκνυντο. Βαρωχᾶϲ τοίνυν ὁ ἀνάθρεπτοϲ τοῦ ἁγίου ἀποϲταλεὶϲ ἀνύϲαι εἰϲ κώμην κανόνα ἐκκληϲιαϲτικόν — γεωργὸϲ οὖν τιϲ Ἕλλην ἀντιταξάμενοϲ αὐτῷ ἐποίηϲεν ταραχήν, καὶ ἀθροιϲθέντεϲ οἱ Ἕλληνεϲ τύπτουϲι τὸν Βαρωχᾶν ἕωϲ θανάτου. Κορνήλιοϲ δὲ διάκονοϲ εὑρὼν αὐτὸν ὡϲεὶ νεκρὸν ἤγαγεν ἐν τῇ πόλει. ᾧτινι ὀργιϲθέντεϲ οἱ Ἕλληνεϲ ἔτυψαν αὐτόν, ὅτι νεκρὸν εἰϲήγαγεν εἰϲ τὴν πόλιν. γνοὺϲ δὲ ὁ ἅγιοϲ ἐξελθὼν μετὰ πολλὰϲ παραινέϲειϲ μόλιϲ τούτουϲ εἰρήνευϲεν. πάλιν δὲ ἐπιβάντων ἐνδυναμωθεὶϲ ὁ θεοφιλὴϲ Βαρωχᾶϲ, ὁ παρ᾽ αὐτοῖϲ νεκρὸϲ νομιζόμενοϲ, ἁρπάϲαϲ ξύλον ἐδίωξεν αὐτοὺϲ μέχρι τοῦ Μαρνείου.

τότε μηνύει τῷ βαϲιλεῖ διὰ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυϲοϲτόμου τοῦ τηνικαῦτα πατριάρχου ὄντοϲ Κωνϲταν-

1 ζητημάτων 7 χρηματιϲθέντεϲ μαρνᾶ 8 κακοποδῖνοϲ ἐϲτὶ 10 μέγα 15 βαροχὰϲ constanter ἀναθρεπτὸϲ 19 f. δὲ ⟨ὁ⟩

τινουπόλεως ὁ ὅσιος Πορφύριος, κλεισθῆναι δεόμενος τὰ εἰδωλεῖα. | καὶ ἀπεστάλη ὑπὸ τοῦ βασιλέως Ἱλάριος μετὰ γραμμάτων καὶ ἔκλεισεν τὰ εἰδωλεῖα πάντα, ἐάσας τὸ Μαρνεῖον καὶ μόνον διὰ τὸ λαμβάνειν αὐτὸν πολλὰ χρήματα. καὶ ἐπετέλουν ἐν αὐτῷ οἱ Ἕλληνες πάλιν τὰς μυσαρὰς αὐτῶν θυσίας.

εἶτα γέγονε θαῦμα μέγα. γυνή τις μέλλουσα τίκτειν ἐκτραπεῖσα τοῦ κατὰ φύσιν τοκετοῦ ἐπὶ τὸ παρὰ φύσιν τὴν χεῖρα ἐξήνεγκεν, καὶ πολλῶν ἰατρῶν καὶ ἐπαοιδῶν τῶν Ἑλλήνων ἐλθόντων οὐδὲν ὠφέλησαν τὴν γυναῖκα. ταύτης δὲ κινδυνευούσης ἡ τροφὸς αὐτῆς οὖσα Χριστιανὴ ἀπήει εὐχομέν⌊η εἰς⌋ τοὺς εὐκτηρίους οἴκους. ἦν ὁ ἅγιος εὑρὼν καὶ τὴν αἰ⌊τίαν μα⌋θὼν λέγει αὐτῇ· Ἐπει⌊δὴ κατεί⌋δωλός ἐστιν ὁ οἶκος τῆ⌊ς πασχού⌋σης, ἀπελθοῦσα εἰπὲ ⌊αὐτοῖς⌋ δοῦναι λόγον τῷ μέλλοντι τ⌊αύτην⌋ θεραπεύειν ὡς πληρο⌊ῦσι τὸ πα⌋ρ᾿ αὐτοῦ προσταττόμενον ⌊καὶ ἡνί⌋κα ἐκτείνωσιν εἰς τὸν οὐρανὸν τὰς χεῖρας, εἰπὲ τῇ πασχούσῃ· Ἰησοῦς Χριστός, ὁ υἱὸς τοῦ θεοῦ ἰᾶταί σε, εἰς αὐτὸν πίστευσον καὶ σωθήσῃ. καὶ τοῦτο ποιήσασα καὶ λέξασα αὐτῇ, εὐθέως τὸ βρέφος κατῆλθε ζῶν, ὥστε πάν-
f. 233v τας κράξαι· Μέγας ὁ | θεὸς τῶν Χριστιανῶν, μέγας δὲ καὶ ὁ ἱερεὺς αὐτοῦ Πορφύριος. καὶ μετ᾿ ὀλίγον ἐβάπτισε τήν τε γυναῖκα καὶ τοὺς γονεῖς αὐτῆς ἅμα τῷ βρέφει, ὀνομάσας αὐτὸ Πορφύριον. οἱ δὲ βαπτισθέντες ὑπῆρχον τὸν ἀριθμὸν ἑξήκοντα τέσσαρες.

ἰδὼν δὲ πάλιν ὁ ἅγιος καταπονουμένους τοὺς Χριστιανοὺς ὑπὸ τῶν εἰδωλολατρῶν, συμπαραλαβὼν Ἰωάννην τὸν ἑαυτοῦ μητροπολίτην ἀπέπλευσεν εἰς Κωνσταντινούπολιν. καταλαβόντες τὴν Ῥόδον εὗρον εἰς τὰ ταύτης ἀπόστροφα τὸν ὅσιον Προκόπιον, μοναχὸν ὄντα, ἄνδρα

20 ζῶον

ἅγιον καὶ διορατικόν. ὅστις ἰ[δὼν] αὐτοὺς ἐπέγνω καὶ πεσὼν [προσε]κύνησεν αὐτούς. ἀναθε[μένων δὲ] αὐτῷ τὴν αἰτίαν δι' ἣν [εἰς τὴν βασι]λεύουσαν ἀπέρχον[ται, προ]σεφώνησεν αὐτοῖς ὁ μα[κάριος] Προκόπιος λέγων ὅτι Ὁ [ὁσιώ]τατος Ἰωάννης ὁ πατρι[άρχης ἐ]χθραίνεται ὑπὸ τῆς βα[σιλίσση]ς, καὶ αὐτὸς μὲν περὶ ὑ[μῶν οὐ]χ ὑπομνήσκει, παρατί[θετ]αι δὲ ὑμᾶς Ἀμαντίῳ τῷ κουβικουλαρίῳ. καὶ ἡνίκα εἰσέλθητε εἰς τὴν αὐγούσταν Εὐδοξίαν, ἥτις ἔγκυός ἐστιν, ἐν τῇ δευτέρᾳ προελεύσει εἴπατε αὐτῇ ὅτι Ἐλπίζομεν εἰς Χριστὸν τὸν ἀληθινὸν | θεὸν ἡμῶν ὅτι εἰ ὑπερ[ασπίζεις] τῶν Χριστιανῶν τῶν ἐν Γ[άζῃ], ἔχει σοι δοῦναι ὁ θεὸς υἱὸν ἄρρενα· [ἔ]νατος γὰρ μήν ἐστιν αὐτῇ τῆς [κυ]οφορίας.

καταλαβόντες οὖν τὸ Βυζάντιον καὶ προσκυνήσαντες Ἰωάννην τὸν Χρυσόστομον καὶ διηγησάμενοι αὐτῷ τὰ κατ' αὐτῶν, καὶ δι' οὗ πάρεισιν, παραδίδονται ὑπ' αὐτοῦ Ἀμαντίῳ τῷ κουβικουλαρίῳ. ὅστις ἀναδιδάξας τὴν αὐγούσταν τὰ περὶ ἑαυτῶν, ἐδέξατο αὐτοὺς εὐμενῶς καὶ ἀναφέρει τῷ βασιλεῖ πρὸς τὸ ἐκδιωχθῆναι τοὺς εἰδωλολάτρας. ὁ δὲ ἐδυσχέραινεν διὰ τὴν πολλὴν συντέλειαν τῶν δημοσίων αὐτῶν. εἰσελθόντων δὲ πάλιν τῶν ἐπισκόπων καὶ εὐαγγελισαμένων τῇ αὐγούστᾳ περὶ τοῦ μέλλοντος τίκτεσθαι παιδὸς κατὰ τὴν προφητείαν τοῦ ὁσίου Προκοπίου τοῦ ἡσυχαστοῦ, ἡ αὐγούστα ἀκούσασα ὑπέσχετο πάντα πληροῦν καὶ ἐκκλησίαν ἐγείρειν μέσον τῆς αὐτῆς πόλεως Γάζης. εἶτα τίκτει τὸν νέον Θεοδόσιον καὶ προσκαλεσαμένη τοὺς ἐπισκόπους εὐλογεῖται παρ' αὐτῶν καὶ ὑποτίθεται αὐτοῖς συντάξαι δέησιν περιέχουσαν τὰ αἰτήματα αὐτῶν καὶ ἡνίκα καταξιωθῇ ὁ παῖς τοῦ θείου

8 αὐγοῦσταν constanter 16 f. κατ' αὐτούς πάρεισαν 18 f. περὶ αὐτῶν 25 πληροῖν

f. 224 βαπτίσματος, ἐ|[ξερχομ]ένου τῆς ἐκκλησίας ἐ[πιδοῦν]αι τὴν δέησιν τῷ βαστά[ζο]ντι αὐτόν. κἀκεῖνον διετάξατο ἡ αὐγούστα τὸ τί μέλλει ποιεῖν. βαπτισθέντος δὲ αὐτοῦ καὶ ἐξερχομένου τῆς ἐκκλησίας πεσόντες οἱ ἐπίσκοποι προσεκύνησαν τὸν μέγαν βασιλέα, τὸν νέον Θεοδόσιον, καὶ ἀπέδωκαν τὴν δέησιν τῷ βαστάζοντι αὐτόν. ὃ δὲ λύσας ἀνέγνω μικρὸν καὶ λαβόμενος τῇ χειρὶ τῆς κεφαλῆς τοῦ παιδὸς ἐπέκλινεν αὐτὴν ἐπὶ πάντων καί φησιν· Ἐκέλευσε τὸ κράτος αὐτῶν γενέσθαι τὴν ἱκεσίαν. ἥντινα ἱκεσίαν ἐν τῷ παλατίῳ ὑπαντήσασα ἡ αὐγούστα καὶ ἀσπασαμένη τὸ βρέφος καὶ τὸν βασιλέα ἀναγνωσθῆναι πεποίηκεν. καὶ ἔφη ὁ βασιλεύς· Βαρεῖα μὲν ἡ αἴτησις, βαρυτέρα δὲ ἡ παραίτησις, διότι καὶ πρώτη ἐστὶν ἡ κέλευσις τοῦ ἡμετέρου υἱοῦ. ἡ δὲ αὐγούστα Εὐδοξία λέγει· Καὶ πρώτη καὶ χάριν εὐσεβείας, καὶ μάλιστα ὑπὸ τοιούτου προσχήματος. ἐπινεύει τότε ὁ βασιλεὺς καὶ ἐκπέμπεται θεῖον γράμμα διὰ Κυνηγίου κόμητος τοῦ κωνσιστωρίου, ἀνδρὸς θερμοῦ περὶ τὴν πίστιν. καὶ κομίζεται ὁ μακάριος Πορφύριος παρὰ τῆς αὐγούστης κεντηνάρια δύο χάριν κτίσεως τῆς | ἐκκλησίας καὶ λόγῳ δαπάνης ἀνὰ ἑκατὸν νομισμάτων. καὶ δὴ ληγατευθέντες ὅ τε ἐπίσκοπος καὶ ὁ μητροπολίτης ἐκ τῶν δημοσίων Παλαιστίνης χρυσίου ἀνὰ λιτρῶν εἴκοσι, συνταξάμενοι ἀπέπλευσαν.

καὶ φθάσαντες τὴν Ῥόδον καὶ βουληθέντες προσκυνῆσαι τὸν ὅσιον Προκόπιον, ὁ ναύκληρος αἱρετικὸς ὢν οὐ συνεχώρησεν. καὶ εὐπλοήσαντες ἐπὶ δύο ἡμέρας γίνεται κλύδων μέγας, ὥστε ἑαυτοὺς ἀπογνῶναι, καὶ εὐχομένων αὐτῶν καὶ ἐπ[ι]καλουμένων εἰς βοήθειαν τὴ[ν]

18 κωνσισταρίου   25 ῥῶδον   28 ἑαυτοὺς ex ἑαυτου, f. ἑαυτῶν

εὐχὴν τοῦ ἁγίου Προκοπίου τ[οῦ ἡ]ϲυχαϲτοῦ φαίνεται τῷ μακα[ρίῳ] Πορφυρίῳ ὁ ὅϲιοϲ Προκ[όπιοϲ] περὶ τὸν ὄρθρον λέγων· Τ[ὸν ναύ]κληρον κατηχήϲατε [καὶ ϲφραγί]ϲατε, Ἀρειανὸϲ γάρ ἐϲτιν [καὶ δι]ὰ τοῦτο οὐ ϲυνεχώρηϲεν ὑ[μῖν ἐλ]θεῖν πρόϲ με. ἀλλὰ πο[ιήϲατε] αὐτὸν ἀναθεματίϲαι Ἄ[ρειον καὶ] τὴν κακοπιϲτίαν αὐτοῦ, [καὶ εὐθέωϲ] παύϲεται ἀφ᾽ ὑμῶν ὁ κλύ[δων. γνω]ρίζουϲι τοῦτο τῷ ναυκλήρ[ῳ, καὶ ἐξο]μολογεῖ καὶ ἀναθεματίζει Ἄρειον καὶ ἀναϲφραγιϲθεὶϲ καὶ κατηχηθεὶϲ μετέλαβε τῆϲ ἀχράντου κοινωνίαϲ. καὶ αὐτίκα ἐπαύθη ὁ κλύδων καὶ διὰ τεϲϲάρων ἡμερῶν καταλαβόντεϲ τὸν Μαϊ|ουμᾶν, ὑπήν- f. 224v
τηϲαν αὐτοῖϲ οἱ τῆϲ πόλεωϲ καὶ τῶν λοιπῶν μερῶν μετὰ ψαλμῳδίαϲ.

ὡϲ δὲ εἰϲῆλθεν εἰϲ τὴν πόλιν ἐπὶ τὸ καλούμενον τετράμφοδον, τὸ εἴδωλον τῆϲ Ἀφροδίτηϲ ἱϲτάμενον διὰ γλυφῆϲ μαρμάρου, ἔχον εἰϲ προὖπτον πάντα τὰ ἀϲχήμονα μέλη καὶ ἀπατῶν ἄνδραϲ τε καὶ γυναῖκαϲ, ἔπεϲεν καὶ ϲυνετρίβη τοῦ ἐν αὐτῷ δαίμονοϲ ἐξελθόντοϲ καὶ τοῦτο ϲυντρίψαντοϲ, καὶ ϲυνέτριψεν ἐκ τῶν παριϲταμένων Ἑλλήνων δύο ὡϲ ἑϲτῶταϲ καὶ μυκτηρίζονταϲ [τὸ]ν λαὸν ἀεὶ τῶν Χριϲτιανῶν· ὥϲ[τε ἐκ] τῶν Ἑλλήνων πιϲτεῦϲαι ἄν[δραϲ] μὲν τριάκοντα δύο, γυ[ναῖκαϲ] δὲ ἑπτά.

καταλαμβά[νει τα]χέωϲ ὁ κόμηϲ ἔχων ὑπατι[κὸν καὶ δο]ῦκα ἅμα βοηθείαϲ με[γάληϲ ϲτ]ρατιωτικῆϲ τε καὶ πο[λιτικῆ]ϲ καὶ καταϲτρέφουϲιν ἐ[κεῖνοι] ἐξαιρέτωϲ τοὺϲ ὀκτὼ [ναοὺϲ] τῶν εἰδώλων, τοῦ τε Ἡλί[ου καὶ] τῆϲ Ἀφροδίτηϲ καὶ τοῦ [Ἀπόλλ]ωνοϲ καὶ τῆϲ Κόρηϲ καὶ [τῆϲ Ἑκ]άτηϲ καὶ τὸ Ἡρωεῖον καὶ [τῆϲ Τ]ύχηϲ ἤγουν τὸ

8 ἀναϲφρ. spatium non capit 14 f. εἰϲῆλθον 16 προῦπτον 17 ἀπατῶντα 18 ϲυνετοίβηι 23 κώμηϲ 26 ὀκτῶ 28 ἡροῖον

Τυχαῖον καὶ τὸ Μαρνεῖον ὃ ἐδόκουν ἐνδοξότατον, τοῦ Κρηταγενοῦϲ Διόϲ, καὶ κατ' οἴκουϲ ἀναρίθμητα εἰδωλεῖα κατέϲτρεψαν. καὶ ὀλο|φυρομένουϲ ἐπὶ τού[τῳ τοὺϲ Ἕλλη]ναϲ ἔτυπτον οἱ ἄρχοντεϲ [ῥάβδοιϲ] καὶ ϲκυτάλαιϲ. ὁ δὲ ἐν ἁγίοιϲ [Πορ]φύριοϲ ἀνεθεμάτιϲεν ἐπὶ τῆϲ ἐκκληϲίαϲ τὸν μέλλοντα Χριϲτιανὸν ἐκ τῶν εἰδωλείων ϲφετερίζεϲθαι ϲκεῦοϲ χρυϲοῦν ἢ ἀργυροῦν.

ἐπὶ δέκα δὲ ἡμέραϲ καύϲαντεϲ τὰ εἴδωλα διελογίζοντο περὶ τοῦ Μαρνείου, πῶϲ αὐτ[ῷ] χρήϲονται, εἴτε καταϲτρέψαι εἴτε καῦϲαι καὶ καθᾶραι εἰϲ τὸ γ[ε]νέϲθαι οἶκον θεοῦ. καὶ δὴ νηϲτεύϲα[ν]τεϲ καὶ παννύχιον ϲύναξιν τελέϲαντεϲ ἄφνω ἐκ τοῦ λαοῦ π[αι]δίον ὡϲ ἐτῶν ἑπτὰ ἀνέκρ[αξεν] ἱϲτάμενον μετὰ τῆϲ ἰδίαϲ μητρόϲ· Καύϲατε τὸν ναὸν τὸν ἔνδον ἕωϲ ἐδάφουϲ, πολλὰ γὰρ δεινὰ γέγονεν ἐν αὐτῷ, μάλιϲτα ἀνθρωποθυϲίαι. τοιούτῳ δὲ τρόπῳ καύϲατε αὐτόν· ἀγάγετε ὑγρὰν πίϲϲαν, θεῖόν τε καὶ ϲτέαρ χοίρεον καὶ μίξατε τὰ τρία καὶ χρίϲατε τὰϲ χαλκὰϲ θύραϲ καὶ ἐπ' αὐτὰϲ τὸ πῦρ ἐπιβάλετε, καὶ οὕτωϲ ἅπαϲ ὁ ναὸϲ καίεται· ἄλλωϲ γὰρ οὐκ ἔϲτι δυνατὸν καταϲτραφῆναι αὐτόν. τὸν δὲ ἐξώτερον ἐάϲατε ϲὺν τῷ περιβόλῳ. καὶ μετὰ τὸ καθάραι τὸν τόπον ἐκεῖ κτίϲατε ἁγίαν f. 225 ἐκκληϲίαν. ἔλεγεν δὲ καὶ τοῦτο· | [Μαρτύρομαι] ὑμᾶϲ ἐνώπιον τοῦ [θεοῦ ἄλλ]ωϲ μὴ γενέϲθαι, οὔτε γὰρ [ἐγώ εἰ]μι ὁ λαλῶν, ἀλλ' ὁ Χριϲτὸϲ ὁ ἐν ἐμοὶ [λα]λῶν. ταῦτα δὲ ἔλεγεν τῇ Σύρᾳ φωνῇ. γνοὺϲ δὲ ὁ ἐπίϲκοποϲ ἐδόξαϲε τὸν θεὸν καὶ ἀγαγὼν τὴν μητέρα τοῦ παιδὸϲ εἶπεν αὐτῇ, εἰ μὴ καθ' ὑποβολὴν αὐτῆϲ ἔφηϲεν ταῦτα ὁ παῖϲ. ἡ δὲ διώμνυτο μηδὲν τοιοῦτον ὑποθέϲθαι αὐτῷ. κατ' ἰδίαν

1 τύχεον 2 κρητὰ γένουϲ 3 τοῦ[το] 6 ϲφαιτερίζεϲθαι 10 καθάραι 12 τελεϲαντεϲ 21 καθάραι 27 καθ- υποβολὴν ἡ δὲ

δὲ ἐκφοβήσας αὐτόν, μικρὸν σιωπῆσαν ἔφη τὸ παιδίον τῇ Ἑλλάδι φωνῇ καθάπερ καὶ πρότερον περὶ τῆς καύσεως τοῦ ναοῦ, ὥστε πάντας δοξάσαι τὰ μεγαλεῖα τοῦ θεοῦ. ἡ δὲ μήτηρ ἐφώμνυτο τὴν Ἑλληνίδα γλῶσσαν μήτε αὐτὴν μήτε τὸν υἱὸν αὐτῆς ὅλως εἰδέναι. λαβούσης δὲ αὐτῆς παρὰ τοῦ ἁγίου τρία νομίσματα, ἰδὼν ὁ παῖς ἀνέκραξε τῇ Σύρᾳ διαλέκτῳ· Μὴ λάβῃς μῆτερ, μὴ καὶ σὺ πωλήσῃς τὴν δωρεὰν τοῦ θεοῦ χρυσίῳ. καὶ ἀντέστρεψεν αὐτὰ τῷ ὁσίῳ, ὑπὲρ αὐτῶν εὐχὴν κομισαμένη. ἐποίησεν δὲ πάντα ὁ ὅσιος καὶ ἔκαυσε τὸν ναὸν κατὰ τὴν προφητείαν τοῦ παιδός. ἐν ᾧ καὶ ὁ τριβοῦνος, Ἕλλην ὢν καὶ ὑποκρινόμενος Χριστιανὸς εἶναι, μαστίζων τινὰς προφάσει εὐταξίας ἀπεκτάνθη | ξύλου κατενεχθέντος ἐπὶ τῆς κεφαλῆς αὐτοῦ. ἐπίστευσαν δὲ τῷ αὐτῷ χρόνῳ ὀνόματα τριακόσια.

διαγράφει τοίνυν τὴν ἐκκλησίαν σταυροειδῶς κατὰ τὸν σκάριφον, ὃν πέπομφεν Εὐδοξία ἡ αὐγούστα. κτιζομένης δὲ αὐτῆς τρεῖς παῖδες ὡς ἐτῶν ἓξ ἢ ἑπτὰ διψήσαντες ἦλθον ἐπὶ τὸ φρέαρ ὄντι ἔσωθεν τοῦ ναοῦ καὶ ἀντλῆσαι ἐπιχειρησάντων, κλασθὲν τὸ ξύλον, κατηνέχθησαν κάτω. θορύβου δὲ γεγονότος χαλάσαντές τινα εὗρον αὐτὰ ἐπὶ λίθων ἱστάμενα. ἅπερ ἐν σπυρίδι ἀνελόμενοι, ἐρευνήσαντες οὐχ εὗρον σπῖλον ἐν [αὐ]τοῖς, σταυρία δὲ εἶχον ὡ[ς ἀπὸ κιν]ναβάρεως, ὃ μὲν ἐν [τῷ μετώ]πῳ, ὃ δὲ ἐπάνω τῆς [δεξιᾶς χει]ρὸς περὶ τοὺς δακ[τύλους, ὁ] δὲ ἄλλος εἰς τὸν δεξ[ιὸν ὦμον].

Ἰουλία δέ τις ἀπὸ Ἀν[τιοχείας ἐλ]θοῦσα, Μανιχαίων οὖσ[α μαθήτρι]α καὶ διδάσκαλος μ[ετὰ δύο ἀν]δρῶν καὶ γυναικῶν πε[ριελθοῦσα] ὑπέφθειρέν τινας τῇ [δόξῃ αὐ]-

4 f. ἐπώμνυτο   19 f. ἐπί τι φρέαρ ὂν   24 ὁ μὲν   25 ὁ δὲ

καὶ τὸ Μαρνεῖον ὃ ἐδόκουν ἐνδοξότατον, τοῦ
οῦς Διός, καὶ κατ' οἴκους ἀναρίθμητα εἰδωλεῖα
ιαν. καὶ ὀλο|φυρομένους ἐπὶ τού[τῳ τοὺς Ἕλ-
γυπτον οἱ ἄρχοντες [ῥάβδοις] καὶ σκυτάλαις.
ιγίοις [Πορ]φύριος ἀνεθεμάτισεν ἐπὶ τῆς ἐκκλη-
μέλλοντα Χριστιανὸν ἐκ τῶν εἰδωλείων σφετε-
κεῦος χρυσοῦν ἢ ἀργυροῦν.
έκα δὲ ἡμέρας καύσαντες τὰ εἴδωλα διελογί-
οὶ τοῦ Μαρνείου, πῶς αὐτ[ῷ] χρήσονται, εἴτε
ιαι εἴτε καῦσαι καὶ καθᾶραι εἰς τὸ γ[ε]νέσθαι
ῦ. καὶ δὴ νηστεύσα[ν]τες καὶ παννύχιον σύναξιν
ς ἄφνω ἐκ τοῦ λαοῦ π[αι]δίον ὡς ἐτῶν ἑπτὰ
ν] ἱστάμενον μετὰ τῆς ἰδίας μητρός· Καύσατε
τὸν ἔνδον ἕως ἐδάφους, πολλὰ γὰρ δεινὰ γέ-
αὐτῷ, μάλιστα ἀνθρωποθυσίαι. τοιούτῳ δὲ
ύσατε αὐτόν· ἀγάγετε ὑγρὰν πίσσαν, θεῖόν τε
ι χοίρεον καὶ μίξατε τὰ τρία καὶ χρίσατε τὰς
ρας καὶ ἐπ' αὐτὰς τὸ πῦρ ἐπιβάλετε, καὶ οὕτως
ὸς καίεται· ἄλλως γὰρ οὐκ ἔστι δυνατὸν κατα-
ι αὐτόν. τὸν δὲ ἐξώτερον ἐάσατε σὺν τῷ περι-
ὶ μετὰ τὸ καθάραι τὸν τόπον ἐκεῖ κτίσατε ἁγίαν
. ἔλεγεν δὲ καὶ τοῦτο· | [Μαρτύρομαι] ὑμᾶς
τοῦ [θεοῦ ἄλλ]ως μὴ γενέσθαι, οὔτε γὰρ [ἐγὼ
λῶν, ἀλλ' ὁ Χριστὸς ὁ ἐν ἐμοὶ [λα]λῶν. ταῦτα
τῇ Σύρᾳ φωνῇ. γνοὺς δὲ ὁ ἐπίσκοπος ἐδόξασε
καὶ ἀγαγὼν τὴν μητέρα τοῦ παιδὸς εἶπεν αὐτῇ,
' ὑποβολὴν αὐτῆς ἔφησεν ταῦτα ὁ παῖς. ἡ δὲ
μηδὲν τοιοῦτον ὑποθέσθαι αὐτῷ. κατ' ἰδίαν

**ον 2 κρητὰ γένους 3 τοῦ[το] 6 σφαιτερί-
0 καθάραι 12 τελεσαντες 21 καθάραι 27 καθ-
ἡ δὲ**

δὲ ἐκφοβήσας αὐτόν, μικρὸν σιωπῆσαν ἔφη τὸ παιδίον τῇ Ἑλλάδι φωνῇ καθάπερ καὶ πρότερον περὶ τῆς καύσεως τοῦ ναοῦ, ὥστε πάντας δοξάσαι τὰ μεγαλεῖα τοῦ θεοῦ. ἡ δὲ μήτηρ ἐφώμνυτο τὴν Ἑλληνίδα γλῶσσαν μήτε αὐτὴν μήτε τὸν υἱὸν αὐτῆς ὅλως εἰδέναι. λαβούσης δὲ αὐτῆς παρὰ τοῦ ἁγίου τρία νομίσματα, ἰδὼν ὁ παῖς ἀνέκραξε τῇ Σύρᾳ διαλέκτῳ· Μὴ λάβῃς μῆτερ, μὴ καὶ σὺ πωλήσῃς τὴν δωρεὰν τοῦ θεοῦ χρυσίῳ. καὶ ἀντέστρεψεν αὐτὰ τῷ ὁσίῳ, ὑπὲρ αὐτῶν εὐχὴν κομισαμένη. ἐποίησεν δὲ πάντα ὁ ὅσιος καὶ ἔκαυσε τὸν ναὸν κατὰ τὴν προφητείαν τοῦ παιδός. ἐν ᾧ καὶ ὁ τριβοῦνος, Ἕλλην ὢν καὶ ὑποκρινόμενος Χριστιανὸς εἶναι, μαστίζων τινὰς προφάσει εὐταξίας ἀπεκτάνθη | ξύλου κατενεχθέντος ἐπὶ τῆς κεφαλῆς αὐτοῦ. ἐπίστευσαν δὲ τῷ αὐτῷ χρόνῳ ὀνόματα τριακόσια.

διαγράφει τοίνυν τὴν ἐκκλησίαν σταυροειδῶς κατὰ τὸν σκάριφον, ὃν πέπομφεν Εὐδοξία ἡ αὐγούστα. κτιζομένης δὲ αὐτῆς τρεῖς παῖδες ὡς ἐτῶν ἓξ ἢ ἑπτὰ διψήσαντες ἦλθον ἐπὶ τὸ φρέαρ ὄντι ἔσωθεν τοῦ ναοῦ καὶ ἀντλῆσαι ἐπιχειρησάντων, κλασθὲν τὸ ξύλον, κατηνέχθησαν κάτω. θορύβου δὲ γεγονότος χαλάσαντές τινα εὗρον αὐτὰ ἐπὶ λίθων ἱστάμενα. ἅπερ ἐν σπυρίδι ἀνελόμενοι, ἐρευνήσαντες οὐχ εὗρον σπῖλον ἐν ⌊αὐ⌋τοῖς, σταυρία δὲ εἶχον ὡ⌊ς ἀπὸ κιν⌋ναβάρεως, ὃ μὲν ἐν ⌊τῷ μετώ⌋πῳ, ὃ δὲ ἐπάνω τῆς ⌊δεξιᾶς χει⌋ρὸς περὶ τοὺς δακ⌊τύλους, ὁ⌋ δὲ ἄλλος εἰς τὸν δεξ⌊ιὸν ὦμον⌋.

Ἰουλία δέ τις ἀπὸ Ἀν⌊τιοχείας ἐλ⌋θοῦσα, Μανιχαίων οὖσ⌊α μαθήτρι⌋α καὶ διδάσκαλος μ⌊ετὰ δύο ἀν⌋δρῶν καὶ γυναικῶν πε⌊ριελθοῦσα⌋ ὑπέφθειρέν τινας τῇ ⌊δόξῃ αὐ⌋-

4 f. ἐπώμνυτο 19 f. ἐπί τι φρέαρ ὂν 24 ὁ μὲν 25 ὁ δὲ

τῆς καὶ τοῖς χρήμασιν. ⌊ὅπερ ὁ ὅσι⌋ος γνούς, ἀγαγὼν ἠρώτησ⌊εν αὐτήν⌋. ἡ δὲ ὡμολόγησεν καὶ εἶ⌊πε τῷ⌋ ὁσίῳ· Δὸς ἡμέραν καὶ ἢ ⌊πεῖσον⌋ ἢ πείσθητι. νηστεύ- f.225v σας δὲ ὁ ἅγιος καὶ κρατῶν τὰ ἅγια εὐαγγέλια διε|λέγετο αὐτῇ. Κορνήλιος δὲ ὁ διάκων ἐσημειοῦτο τοὺς διαλόγους ἤτοι τὴν ἀντιβολὴν ἀμφοτέρων, οὓς ἐν ἑτέρῳ βιβλίῳ, ὥς φησι, συνέταξεν. τῆς δὲ Ἰουλίας πολλὰ βλασφημούσης κατὰ τοῦ δεσπότου τῶν ὅλων τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐπετίμησεν αὐτὴν ὁ ἅγιος εἰπών· Ὁ θεὸς ὁ τὰ πάντα ποιήσας ὁρατά τε καὶ ἀόρατα, ὁ ἐν τριάδι δοξαζόμενος, πατάξει τὴν γλῶσσάν σου καὶ φιμώσει σε, ἵνα μὴ λαλῇς βλάσφημα κατὰ τοῦ ποιητοῦ τῶν ὅλων θεοῦ. καὶ εὐθέως ἐ⌊φ⌋ιμώθη καὶ μετ' ὀλίγον ἐξέψυ⌊ξεν⌋, ὥστε τοὺς μετ' αὐτῆς Μανι⌊χαίου⌋ς μετανοήσαντας πιστεῦ⌊σαι εἰς τὸν⌋ κύριον.

μετὰ οὖν πεντα⌊ετῆ χρόνον⌋ πεποίηκε τὰ ἐγκαίνι⌊α τῆς ἁγίας ἐκκ⌋λησίας, μὴ ἐλεήσας ⌊τὰ δαπα⌋νήματα, δεξιωσάμε⌊νος πάντ⌋α τὸν λαὸν καὶ χιλίους ⌊μοναχούς⌋ τῇ ἡμέρᾳ τοῦ ἁγίου πά⌊σχα. ἐλ⌋έγετο δὲ καὶ μετὰ τὸ ὄ⌊ψον ψαλμ⌋ὸς καὶ μετὰ τὸ πόμα ⌊ὕμνος⌋. ἐποίησεν δὲ καὶ ξενο⌊δοχίας⌋ παρέχων ἑκάστῳ ἐνδη⌊μοῦντι⌋ ἀνάλωμα τῆς ἡμέρας ⌊ἀνὰ⌋ ὀβολοὺς ἕξ, καὶ διέθετο ⌊πάν⌋τως μετὰ τὸ πάσχα ἕως τῶν σαράκοντα ἡμερῶν δίδοσθαι τοῖς πτωχοῖς ἀνὰ ὀβολοὺς δέκα, | ἀφορίσας ἐπ' α⌊ὐτὸ κτήμα⌋τα, καὶ εἰ μὴ βουλη⌊θείη ὁ μετ' αὐ⌋τὸν προεστὼς ἐπίσκοπ⌊ος κα⌋τὰ τὴν διατύπωσιν αὐτοῦ ⌊πα⌋ρέχειν τοῦτο, προσκυροῦσθαι τὸ αὐτὸ κτῆμα τῇ μητροπόλει Καισαρείας.

ἐντεῦθεν τὰ περὶ Σαμψύχου τοῦ ἄρχοντος, ὅπως ἀντιβολῆς γενομένης ὑπὲρ χωρίων καὶ τοῦ οἰκονόμου

2 ἡ δὲ   5 ἐσημειούτω   8 βλασφιμούσης   12 βλάσφιμα
19 τὸν ὄψον   29 αντιβολῆς

ὑβρισθέ[ν]τος ἐπανέστησαν οἱ πολῖται ἅμα τοῖς τοῦ βουλευτηρίου τοῖς τῆς ἐκκλησίας, ὥστε καὶ τὸν ἅγιον φυγόντα ξενισθῆναι εἰς οἶκον ἐν ᾧ εὗρεν παιδίσκην τινὰ ὀνόματι Σαλάνθαν τὴν καὶ μετονομασθεῖσαν Εἰρήνην, καὶ διηκονήθη παρ' αὐτῆς. ὁ δὲ ὑπατικὸς Κλᾶρος τοὺς στασιάσαντας κατὰ τῆς ἐκκλησίας τιμωρησάμενος εἰρήνευσεν τὴν πόλιν. ἡ δὲ εἰρημένη Εἰρήνη ἐβαπτίσθη παρὰ τοῦ ὁσίου Πορφυρίου μεθ' ἑτέρας θείας αὐτῆς καὶ μάμμης, καὶ ἀποταξαμένη ἐνθέως ἐπολιτεύσατο.

ὁ δὲ ὅσιος Πορφύριος ἱκανὰ ἔτη ἐπιβιώσας καλῷ ὕπνῳ ἐκοιμήθη μηνὶ Φευρουαρίῳ εἰκάδι ἕκτῃ, ἐπισκοπήσας ἔτη εἴκοσι τέσσαρα, μῆνας ἕνδεκα καὶ ἡμέρας ὀκτώ. ὁ δὲ τὸν ὅσιόν σου ἱεράρχην καὶ πιστὸν θεράπ|[ποντα f. 226 Πο]ρφύριον θεὸς δοξάσας [καὶ δι' αὐτ]οῦ τῆς τῶν εἰδώλων [πλάν]ης τὸν λαόν σου ἐλευθε[ρώσ]ας καὶ πρὸς τὴν σὴν ἐπί[γ]νωσιν μετενέγκας, αὐτοῦ ταῖς πρεσβείαις ὡς ἀγαθὸς δυσω[πο]ύμενος, λύτρωσαι καὶ νῦν τὴν ἐκκλησίαν σου πάσης αἱρετικῆς πλάνης καὶ ἀποστασίας τῆς κατεχούσης τὸν κόσμον· ὅτι σὺ εἶ ὁ θεὸς ὁ πάντας θέλων σωθῆναι, καὶ σοῦ ἐστιν ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

20 cf. Tim. I 2, 4

6 κλάρος τοῦ στασιάσαντος 12 εἰκάδα 15 αὐτ]ου acc. om. ut videtur

f.120ʳ ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΠΟΡΦΥΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΓΑΖΗΣ.

Γάζα πόλιϲ ἐϲτὶ τῆϲ Παλαιϲτίνηϲ, μεθόριον αὐτῆϲ καὶ
τῆϲ Αἰγύπτου κειμένη· περιφανὴϲ ἡ πόλιϲ εἴδωλα πλου-
f. 121 τοῦϲα μετὰ τῶν ἄλλων, πλοῦτον φεῦ | τὸν κακόν. ταύτηϲ
ὁ καλὸϲ Πορφύριοϲ θεοῦ κρίμαϲιν ἀπορρήτοιϲ καλῶϲ τὸν
τῆϲ ἀρχιερωϲύνηϲ θρόνον ἐκόϲμηϲεν. ἀλλ' ἄνωθεν χρὴ
μικρὸν τὸν λόγον ἀναγαγεῖν. οὗτοϲ ὁ κλεινὸϲ Πορφύ-
ριοϲ πατρίδα μὲν ἔϲχε Θεϲϲαλονίκην, ἐπιφανεῖϲ δὲ τοὺϲ
τεκόνταϲ καὶ πλούτῳ λαμπρούϲ. θείῳ τοίνυν ἔρωτι κατά-
ϲχετοϲ γεγονὼϲ μετὰ τελευτὴν τῶν τεκόντων ἐπείπερ
εἰϲ ἄνδραϲ ἐτέλει, καταλιπὼν πατρίδα γένοϲ ὕπαρξιν,
καταλαμβάνει τὴν Αἴγυπτον καὶ τὸν μονήρη βίον κατὰ
τὴν Cκῆτιν ἐχεφρόνωϲ ἀϲπάζεται. πέντε γοῦν ἔτεϲι τοῖϲ
ἐκεῖϲε μοναχοῖϲ ϲυνδιαγαγὼν τὰ Ἱεροϲόλυμα κατειλήφει
προϲκυνήϲεωϲ χάριν τῶν ϲεβαϲμίων τόπων, οἷϲ ὁ ἐμὸϲ
Χριϲτὸϲ | τὰϲ διατριβὰϲ ἐποιήϲατο καὶ τὸν ἑκούϲιον ὑπὲρ
ἡμῶν εἵλετο θάνατον. ἐκεῖθεν οὖν τὰ μέρη τοῦ Ἰορ-
δάνου καταλαβὼν ϲπήλαιον οἰκεῖ λίαν ὅτι δυϲάερον καὶ
ἄλλωϲ φθοροποιόν. ἔνθεν τοι καὶ νόϲῳ περιπίπτει δεινῇ,
καὶ ἡ νόϲοϲ ϲκληρότηϲ ἥπατοϲ καὶ πυρετὸϲ ϲυνεχήϲ. δι'
ἃ πάλιν τὰ Ἱεροϲόλυμα βλέψαϲ τοὺϲ ἁγίουϲ περιῄει τό-

METAPHRASIS COD. MOSQUENSIS 184 14 ϲκήτην
17 ἠκούϲιον 21 πυρητὸϲ

πους, μὴ τῆς νόσου φροντίζων, τῶν πατέρων δὲ ταῖς διδασκαλίαις προσκείμενος.

πλὴν μόνην λύπην εἶχεν ἄπαυστον ταύτην, τὸ μὴ τὴν γονικὴν οὐσίαν ἐξαργυρισθῆναι καὶ διανεμηθῆναι τοῖς πένησιν. ὅμως δὲ τῷ συνήθει μοι καὶ φίλῳ βιβλίον ἐν-τολῆς ἐγχειρίζει τὴν Θεσσαλονίκην κελεῦον κατα|λαβόντα f. 121v σὺν ἀδελφοῖς αὐτοῦ (νέους γὰρ ὅτι τούτους τῆς πατρίδος ἀπαναστὰς καταλέλοιπε) ταύτην ἐπιμερίσασθαι. πλοίῳ τοιγαροῦν ἐν τῷ λιμένι τῆς Ἀσκάλωνος εὑρηκὼς δι' ἡμερῶν τρισκαίδεκα τὴν εἰρημένην πόλιν κατέλαβον καὶ τοῖς ἀδελφοῖς τὴν ἐπιστολὴν ἐμφανίσας καὶ τὰ τῆς ἐπιλαχούσης κτήσεως τῷ Πορφυρίῳ λαβὼν καὶ τρισχιλίων αὐτοῖς διαπωλήσας ταῦτα χρυσῶν ἔτι τε καὶ τὰ ἐσθήματα καὶ εἴ τι ἐν ἀργύρῳ ἦν πάντα συλλεξάμενος καὶ ἑτέρους χρυσοῦς χιλίους τετρακοσίους καὶ ἐκπλεύσας δι' ἡμερῶν δυοκαίδεκα κατέλαβον τὴν Ἀσκάλωνα. καὶ μισθωσάμενος ὑποζύγια πρὸς τὴν ἁγίαν τάχος παραγίνομαι πόλιν.

αἴφνης οὖν με | κατιδὼν ὁ θαυμάσιος καὶ περιεπτύξατο καὶ δάκρυον ἐπαφῆκε χαρᾶς. ἐμοῦ δὲ τοῦτον ἐρρωμένον ἰδόντος καὶ τὴν ὄψιν ἔχοντα φαιδρὰν καὶ τὴν αἰτίαν μαθεῖν ἐκζητήσαντος ἐκεῖνος ἤρξατο λέγειν ὅτιπερ 'ἐν τῇ τῆς ἁγίας κυριακῆς παννυχίδι χαλεπή με', φησί, 'κατέσχεν ὀδύνη καὶ μὴ φέρων, ἀδελφὲ Μάρκε, τὴν δεινὴν ἀλγηδόνα πλησίον ἀνεκλίθην τοῦ ἁγίου κρανίου καὶ εὐθὺς ἐν ἐκστάσει γενόμενος ὁρῶ θέαμα ξένον, ἐν τῷ σταυρῷ τὸν σωτῆρα καὶ τῶν λῃστῶν ἕνα κρεμάμενον ἐν ἑτέρῳ σταυρῷ, καὶ ἅμα τῷ κράζειν με "μνήσθητί μου, κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου" ἀκούω τοῦ σωτῆ-

8 f. πλοῖον

ρος πρὸς αὐτὸν λέγοντος τὸν ληστήν· “κάτελθε καὶ cῶcον ὥcπερ δὴ καὶ cὺ cέcωcαι τὸν ὀδυνώμενον ἄνθρωπον.” f. 122 τούτου δὲ | κατιόντος καὶ περιβαλόντος με καὶ φιλήcαντος ναὶ δὴ καὶ τὴν χεῖρα προτείναντός τε καὶ ἀναcτήcαντος καὶ “πρὸς τὸν cωτῆρα” φήcαντος “ἐλθέ” ἀναcτὰς ἔδραμον εὐθέως ἐγὼ καὶ εἶδον ἀπὸ τοῦ cταυροῦ καταβάντα τοῦτον καὶ “λάβε τὸ ξύλον” εἰπόντα “τοῦτο καὶ φύλαξον”. ὃ καὶ λαβὼν καὶ βαcτάcας ἐπανῆλθον εὐθὺς ἀπὸ τῆς ἐκcτάcεως καὶ κατενόουν ἐμαυτὸν καὶ ὑγιὴς ἤμην καὶ ἄνοcος.’ τούτων ἀκούcας ἐγὼ τὸν θεὸν ἐδόξαζον τὸν μεγάλα ποιοῦντα καὶ ἔνδοξα. εἶτα παραδεδωκότος μου τούτῳ τὰ χρήματα καὶ τὴν ἄλλην ὕπαρξιν ἐκεῖνος ἀργυρίου ταῦτα πωλήcας ἐντὸς ὀλίγου χρόνου τὰ τούτων τιμήματα τοῖς ἐνδεέcι διένειμε, cκεύη μόνον τίμια τοῦ ἀργύρου ἐξεργαcάμενος. ἔκτοτε γοῦν κατὰ τὸν | μέγαν ἀπόcτολον Παῦλον cκυτοτόμος εἶναι προείλετο, βύρcας πλύνων ἅμα καὶ ῥάπτων κἀντεῦθεν τρεφόμενος ‘εἴ τις οὐκ ἐργάζεται’ λέγων ‘μηδαμῶς ἐcθιέτω’.

γέγονεν οὖν περιβόητος ἐν ἀρεταῖς ὁ δίκαιος, διὸ καὶ δυνατὸν οὐκ ἦν ὑπὸ τὸν μόδιον αὐτὸν cυγκαλύπτεcθαι. ὅθεν οὐδὲ κεκάλυπτο. καὶ γὰρ ὁ πρόεδρος Ἱεροcολύμων (Πραΰλιος ἦν ὁ καλός) πέμψας καὶ τοῦτον ἀγαγὼν πρεcβύτερόν τε χειροτονεῖ καὶ τὴν τοῦ θείου cταυροῦ φυλακὴν ἐμπιcτεύει θερμῶς. καὶ τότε cυνήκαμεν ὡς ἀπέβη τούτῳ τὰ τῆς ἐκcτάcεως, ὅτε τὸν cταυρὸν εἰς φυλακὴν ὁ cωτὴρ ἡμῶν ἐνεχείριcε τούτῳ. πέντε τοίνυν ἐτῶν ἐπὶ τοῖς τεccαράκοντα ἦν ὁ Πορφύριος, ὅτε τὴν τοῦ πρεcβυτέρου χειροτονίαν ἐδέξατο. |

20 cf. Matth. 5, 15

2 ὠδυνώμενον **3** περιλαβόντος **24** cυνῆκα μὲν

μετὰ γοῦν τρίτον ἑξῆϲ χρόνον ὁ τῆϲ Γαζαίων ἐπίϲκοποϲ f. 122v (Αἰνείαϲ ἦν οὗτοϲ) τὸν βίον ἀπέλιπεν. οἱ τοίνυν Χριϲτιανοὶ τῆϲ πόλεωϲ ὀλίγοι τυγχάνοντεϲ ἅμα τοῖϲ τοῦ κλήρου τῆϲ ἐκκληϲίαϲ ϲκέπτονται καὶ γράφουϲι τῷ μητροπολίτῃ, πέντε πέμψαντεϲ τῶν κληρικῶν καὶ πέντε τῶν λαϊκῶν, ἐπίϲκοπον αὐτοῖϲ ἀξιοῦντεϲ δοθῆναι πρὸϲ τὰϲ ἀντιπαραϲτάϲειϲ τῶν εἰδωλολατρῶν ἀντιπίπτειν δυνάμενον καὶ φωτίζειν αὐτούϲ. καὶ οὗτοϲ δεηθεὶϲ τοῦ θεοῦ μυεῖται δι' ἀποκαλύψεωϲ τὸν Πορφύριον καὶ εὐθὺϲ γράμματα πέμπει πρὸϲ τὸν ὁϲιώτατον Πραΰλιον τὸν Ἱεροϲολύμων πρόεδρον μετακαλούμενα τὸν Πορφύριον ζητήματοϲ χάριν γραφικῆϲ ἐπιλύϲεωϲ· καὶ γὰρ ἦν ἱκανὸϲ ἐν αὐτοῖϲ | ὁ ἀνήρ, πνεύματοϲ ἐξ ἁγίου τὴν χάριν δεξάμενοϲ. καὶ ὃϲ αὐτίκα ϲτέλλει τοῦτον πρὸϲ αὐτόν. ἐπεὶ οὖν μάθοι παρὰ τοῦ Ἰωάννου (οὕτω γὰρ ὁ μητροπολίτηϲ ὠνόμαϲτο) τῆϲ προϲκλήϲεωϲ τὴν αἰτίαν, τὰ μὲν πρῶτα διενέϲτη πρὸϲ τὸ τοῦ πράγματοϲ μέγεθοϲ, εἶτα βιαϲθεὶϲ ὑπὸ τοῦ μητροπολίτου καὶ μὴ ἀντιλέγειν τῇ θείᾳ βουλῇ διδαχθεὶϲ καταδέχεται 'τὸ θέλημα' εἰπὼν 'τοῦ θεοῦ γενέϲθω'.

κατὰ γοῦν τὴν ἑϲπέραν ἐκείνην καλέϲαϲ με λέγει· 'πορευθῶμεν, ἀδελφὲ Μάρκε, καὶ προϲκυνήϲωμεν τοὺϲ ϲεβαϲμίουϲ τόπουϲ καὶ τὸν τοῦ κυρίου ϲταυρόν· πολὺϲ γὰρ παρελεύϲεται χρόνοϲ, ἕωϲ αὖθιϲ τοῦτο ποιήϲομεν'. ἐμοῦ δὲ 'διὰ τί' φήϲαντοϲ 'ὦ πάτερ, οὕτωϲ ἐφθέγξω' ἐκεῖνοϲ 'τῇ παρελθούϲῃ' λέγει 'νυκτὶ τὸν δεϲπότην | f. 123 εἶδον, ἀδελφέ, "τὴν παραθήκην" λέγοντα "Πορφύριε, τάχοϲ ἀπόδοϲ, μέλλω γάρ ϲε ϲυζεῦξαι γυναικὶ ταπεινῇ μέν, τρόποιϲ δὲ κεκοϲμημένῃ ϲεμνοῖϲ. ϲὺ δὲ ἀλλὰ κόϲμη-

1 ἐξ ἧϲ   2 αἰνίαϲ   12 f. γραφικοῦ   17 f. διανέϲτη

σον αὐτήν, ὡς ἂν ἐπιλάθηται τῆς προτέρας πενίας· ἀδελφὴ γάρ μοι γνησία κατὰ πάντα τυγχάνει".

ταῦτά μοι ὁ δεσπότης ἐγνώρισε, Μάρκε· διὸ καὶ οὐ δυνατὸν ἀντιπίπτειν τῷ βουλήματι τούτου'. οὕτως ἔφη καὶ τοὺς ἁγίους ἀπελθόντες καὶ προσκυνήσαντες τόπους, καὶ τῇ θήκῃ τὸν σταυρὸν ἐνθέμενος ὁ Πορφύριος καὶ πρὸς τὸν μακάριον Πραΰλιον ἀφικόμενος παρατίθεται τούτῳ τὰς κλεῖς καὶ λαβὼν εὐχὴν ὑπ' αὐτοῦ τὸ καταγώγιον κατελάβομεν, καὶ μισθωσάμενοι ζῷα τῇ ἑξῆς ἅμα τῷ ὑπηρέτῃ Βαρουχᾷ, περὶ οὗ προϊὼν ὁ λόγος δι|δάξει, καί τισιν ἄλλοις τὴν ὁδὸν ἠνύομεν καὶ τῆς αὔριον τὴν Καισάρειαν κατελάβομεν, καὶ πρός τινα καταγωγὴν κατελύσαμεν. ὅπερ γνοὺς ὁ τὰ πάντα σοφὸς Ἰωάννης ὁ ταύτης ἀρχιερεὺς πρὸς δεῖπνον ἡμᾶς συνεκάλεσεν· ἦν δὲ σάββατον. καὶ δὴ πρὸς αὐτὸν ἀπιόντες (οὐδὲ γὰρ ἐξῆν ἀντειπεῖν τῷ ἀρχιερεῖ) τὸν Βαρουχᾶν τῇ καταγωγῇ κατελίπομεν. μείναντες οὖν σὺν αὐτῷ καὶ τὴν πάννυχον τῆς ἀναστάσεως ἐκτελέσαντες σύναξιν ἅμα πρωῒ τοὺς Γαζαίους ὁ ἱεράρχης συγκαλεσάμενος χειροτονεῖ τὸν Πορφύριον καὶ τούτοις ἐπίσκοπον δίδωσι. τὴν θείαν οὖν ἐκτελέσαντες λειτουργίαν καὶ μετασχόντες σὺν τῷ μητροπολίτῃ τροφῆς μετὰ μίαν ἡμέραν ἐξήλθομεν καὶ τῇ
f. 123v αὔριον | τὴν Γάζαν εἰσήλθομεν καὶ τὸ ἐπισκοπεῖον εἴδομεν, ὅπερ Εἰρηναῖος ὁ ἐπίσκοπος ᾠκοδόμησε μετὰ τῆς ἐκκλησίας καὶ Εἰρήνην αὐτὴν ἐπωνόμασε. κατὰ δύο δὲ τρόπους φασὶ τὴν ἐκκλησίαν οὕτως κεκλῆσθαι, διά τε τὸ καλεῖσθαι τὸν ἐπίσκοπον Εἰρηναῖον καὶ διὰ τὸ τὸν ἐκ Μακεδονίας Ἀλέξανδρον, ἡνίκα τὴν πόλιν τῶν Γαζαίων

5 f. ἐπελθόντες 11 f. τῇ αὔριον 16 τῇ κατ. cf. p. 94, 16 18 σύναξιν: στάσιν

ἐπόρθησεν, ἐκεῖσε καταπαῦσαι τὸν πόλεμον καὶ Εἰρήνην ὀνομάσαι τὸν τόπον.

κατὰ γοῦν τὸν χρόνον ἐκεῖνον ἀνομβρίας (οἷα συμβαίνει ταῖς τοῦ καιροῦ περιτροπαῖς ἐγγίνεσθαι) πιεζούσης τὸν τόπον οἱ τὰ Ἑλλήνων πρεσβεύοντες τῇ τοῦ Πορφυρίου εἰσόδῳ τὴν αἰτίαν ἐπέγραφον. ἔνθεν τοι καὶ θυσίας προσῆγον ἐφ᾽ ὅλαις ἡμέραις ἑπτὰ Μάρ|νᾳ τῷ θεῷ αὐτῶν (οὕτως γὰρ ἐκάλουν τὸν Δία) ὑετὸν ζητοῦντες λαβεῖν. ἀπράκτων οὖν ἐπανιόντων αὐτῶν (οὐδὲ γὰρ δαιμόνων τοῦτο, θεοῦ δὲ πάντως καὶ τῆς αὐτοῦ δυνάμεως ἔργον) οἱ Χριστιανοὶ τῷ Πορφυρίῳ σὺν ἅμα γυναιξὶ προσιόντες καὶ τέκνοις δέονται λύσιν εὑρεῖν τοῦ τοσούτου κακοῦ. πρωΐας οὖν γενομένης ἅμα παντὶ τῷ κλήρῳ καὶ τούτοις αὐτοῖς τὴν ἀρχαίαν κατελάβομεν ἐκκλησίαν, ἣν τὸν ἁγιώτατον ἐπίσκοπον Ἀσκληπᾶν, ὃς πολλοὺς καὶ μεγάλους ὑπέμεινε διὰ Χριστὸν διωγμούς, οἰκοδομῆσαι λέγεται. ἐν ᾗ καὶ δεήσεις πρὸς θεὸν ποιησάμενοι ἐπὶ τὸν ναὸν τοῦ ἁγίου μάρτυρος Τιμοθέου μετὰ λιτῆς καὶ ὕμνων παρεγενόμεθα. κἀν τούτῳ τὰς συνήθεις εὐχὰς ἐκτελέσαντες, περὶ ὥραν | ἐνάτην τῆς ἡμέρας εἰς τὴν πόλιν f. 124 ἤλθομεν καὶ ἐπεὶ κεκλεισμένην εὕρομεν τὴν πύλην δι᾽ ἧς εἰσελθεῖν ἐμέλλομεν τῶν εἰδωλολατρῶν πάντως ἀποκλεισάντων αὐτήν, ἐμείναμεν πρὸ ταύτης ἄχρις ὡρῶν δύο παρελεύσεως ἢ καὶ τριῶν. καὶ τότε (τίς σοῦ, Χριστέ μου, μὴ θαυμάσει τὴν δύναμιν;) ἀνέμου νότου κινηθέντος βιαίου βροντῶν τε καταρραγέντων καὶ ἀστραπῶν ἐκτριβέντων λάβρος ὑετὸς κατεχέθη καὶ τὴν γῆν ἐκείνην ἐμέθυσεν ἅπασαν, ὡς ἐκπλαγέντας ἐπὶ τούτῳ τοὺς Ἕλληνας

7 f. ὅλας ἡμέρας   μαρνᾶ constanter   26 cf. adn. ad p. 79, 1   27 κατεχέθη: cf. Lobeck Phryn. p. 731

ἀνοῖξαί τε τὴν τῆς πόλεως πύλην καὶ ‘μέγας ὁ Χριστὸς’ βοῆσαι ‘ὁ θεὸς τῶν Χριστιανῶν’, προστεθῆναί τε τούτῳ καί τινας αὐτῶν ἄνδρας ὁμοῦ καὶ γυναῖκας καὶ παῖδας, ἑπτὰ τὸν ἀριθμὸν καὶ εἴκοσι πρὸς τοῖς ἑκατόν, ἔτι τε | κατ’ αὐτὸν δὴ τὸν καιρὸν καὶ ἑτέρους τριάκοντα πρὸς τούτοις καὶ πέντε.

ὅπερ ἐκμαίνεσθαι τοὺς Ἕλληνας κατὰ τῶν πιστῶν ἐποίει, καὶ δὴ ποτὲ τὸν προμνημονευθέντα Βαρουχᾶν διά τινος ἀπαίτησιν ἐκκλησιαστικοῦ σιτηρεσίου κώμῃ παραβαλόντα τινὶ τοσοῦτον τοῖς ῥοπάλοις οἱ τῆς κώμης ἔτυψαν, ὡς ἡμιθανῆ γενόμενον ἔξω ταύτης ῥιφῆναι. ἐπεὶ δὲ τοῦτον ὁ διάκονος Κορνήλιος μεθ’ ἑτέρων δύο Χριστιανῶν παριὼν οὕτω κείμενον ἴδοι, διαβαστάσας ἅμα τοῦτον πρὸς τὴν πόλιν ἀπῆγεν. καί τινες τῶν Ἑλλήνων μύσος ἡγησάμενοι τοῦτο (νεκρὸν γὰρ ἐνόμιζον εἶναι τὸν βασταζόμενον) τῇ γῇ τοῦτον κατέβαλον καὶ σχοῖνον ἐκ- f. 124v δήσαντες τοῦ ποδὸς μακρὰν εἷλκον τῆς πόλεως, | πολλὰς ἐντείναντες τοῖς βαστάζουσι τὰς πληγάς. ὅπερ γνοὺς ὁ Πορφύριος καὶ σὺν ἄλλοις τισὶ τούτους καταλαβὼν ‘μὴ οὕτω’ πρὸς αὐτοὺς ‘ὦ ἄνδρες’ ἔλεγε ‘μὴ οὕτω πρὸς ἄνθρωπον τὴν αὐτὴν ὑμῖν περικείμενον σάρκα ποιεῖτε’. καὶ οὕτω μόλις αὐτῶν τοὺς θυμοὺς καταστείλας τὸν Βαρουχᾶν ἐκέλευσε διαβασταχθέντα πρὸς τὴν ἐκκλησίαν ἀπενεχθῆναι. κατ’ ἐκείνην οὖν τὴν νύκτα τοῦ ἁγίου δεήσεις ὑπὲρ αὐτοῦ πρὸς θεὸν ποιουμένου, ἐκεῖνος ἀνοίγειν ἤρξατο τοὺς ὀφθαλμοὺς καὶ τὰ χείλη κινεῖν καὶ ποτὸν ἐξαιτεῖν. ὄρθρος ἦν καὶ ἰδοὺ οἱ τῆς πόλεως ἔξαρχοι τὴν ἐκκλησίαν καταλαβόντες ‘ἄδικον’ ἐβόων ‘τὸ γεγονός, οὐχ ὅσιον γὰρ νεκρὸν ἔξωθεν πρὸς τὴν πόλιν εἰς-

13 f. ἅμα ⟨ἐκείνοις⟩

ἄγεcθαι'. πρὸc δὲ | καὶ ὕβρεcιν τὸν ἅγιον ἔβαλλον. ἐξιόντας οὖν ἡμᾶc καταcχόντεc ἐκεῖνοι τύπτειν ἀφειδῶc ἐπεχείρουν· ἐγὼ δὲ ἤμην καὶ ὁ θεοφιλὴc Κορνήλιοc. θορύβου οὖν γεγονότοc ὁ Βαρουχᾶc ζήλῳ θείῳ ῥωcθεὶc διαναcτάc τε καὶ ξύλου λαβόμενοc τοcοῦτον ἐπέθετο τύπτων αὐτοὺc καὶ διώκων, ἕωc οὗ πρὸc τὸν τοῦ Διὸc ναὸν εἰcήγαγε φεύγονταc, ἄλλοc τιc Σαμψὼν ἐν τούτοιc ἀναφανεὶc γενναιότατοc. ὅντινα κἀμὲ μετ' οὐ πολλὰc ἡμέραc τῷ τῶν διακόνων ὁ μέγαc τετίμηκεν ἀξιώματι.

χρόνοc παρῆλθε οὐχὶ cυχνὸc καὶ γράφει πρὸc τὸν Κωνcταντινουπόλεωc πατριάρχην (Ἰωάννηc δὲ οὗτοc ἦν ἡ χρυcῆ γλῶccα καὶ τὰ θεῖα cοφή) τὴν καθαίρεcιν ἐξαιτῶν τῶν εἰδωλικῶν γενέcθαι ναῶν· ᾔδει γὰρ ὡc ἐντυχὼν ἐκεῖνοc | τῷ βαcιλεῖ καλῶc τὰ περὶ τούτων θήcοι f. 125 καὶ εὐμαρῶc. δι' ἡμερῶν οὖν τὸν διάπλουν εἴκοcι ποιηcάμενοι τὴν Κωνcταντίνου κατέλαβον καὶ τὰ γράμματα τῷ πατριάρχῃ παρέcχον. ὁ δὲ πρόθυμοc εἰc τοῦτο γενόμενοc τὸν κουβικουλάριον Εὐτρόπιον, μεγάλα τότε παρὰ τῷ βαcιλεῖ δυνάμενον Ἀρκαδίῳ, μετακαλεῖται τὸ τάχοc καὶ τὴν ἐπιcτολὴν ἐγχειρίζει καὶ θερμῶc ἀξιοῖ μάλα ταχεῖαν τὴν ἔκβαcιν καὶ κατὰ cκοπὸν Πορφυρίου τὰ πράγματα δέξαcθαι. ἡμέραι παρῆλθον ἑπτά, καὶ πρόcταγμα γίνεται βαcιλικὸν τὰ τῆc Γαζαίων πόλεωc εἰδωλεῖα κλειcθῆναι, καὶ τοῦτο Ἱλάριόc τιc, τῶν ὑπηρετουμένων εἰc cουβαδιουβᾶ τῷ μαγίcτρῳ, λαμβάνει καὶ τὸ τάχοc ἅπτεται τῆc ὁδοῦ. cυνεξῄειν δὲ τούτῳ | κἀγὼ καὶ ἡμερῶν πρό γε ἑπτὰ τῆc αὐτοῦ παρουcίαc φθάνω τὴν Γάζαν ἐγὼ καὶ ἅπερ ἔλαβον τοῦ πατριάρχου γράμματα τῷ Πορφυρίῳ κομίζω. ὃc ἅμα τῷ ποιήcαcθαι τὴν τούτων

15 f. ποιηcάμενοc

ἀνάγνωϲιν εὔθυμόϲ τε γέγονε καὶ τὴν νόϲον ᾗ πεπέδητο ταῖϲ τῶν εἰδωλολατρῶν ἐπεμβολαῖϲ ἀπεϲείϲατο. κατέλαβε τοίνυν καὶ ὁ Ἱλάριοϲ, τὰ βαϲιλικὰ διατάγματα τοῖϲ ἐξάρχοιϲ Γάζηϲ ὑπέδειξε ναὶ δὴ καὶ κατέϲτρεψε τὰ τῶν δαιμόνων ἰνδάλματα καὶ τοὺϲ αὐτῶν ναοὺϲ ἐναπέκλειϲε, τὸν τοῦ Διὸϲ μόνον ἐάϲαϲ χρημάτων οὐκ ὀλίγων ἕνεκα, ἐν ᾧ τὰϲ ϲυνήθειϲ τελετὰϲ οἱ ἐναγεῖϲ ἐποιοῦντο.

γυνὴ οὖν τιϲ κατ' ἐκεῖνο καιροῦ τῶν ἐπιφανῶν τῆϲ πόλεωϲ μία, Αἰλιὰϲ καλουμένη, περὶ τὸν τοκετὸν ἐκιν-
f. 125v δύνευεν· | ἦν γὰρ πλάγιον ἐνεχθὲν τὸ βρέφοϲ ἐν τῇ προόδῳ. ὡϲ οὖν πλεῖϲτα τῷ Μάρνᾳ θύοντεϲ (οὕτω γάρ, ὡϲ δεδήλωται, τούτοιϲ ὁ Ζεὺϲ ὠνομάζετο) μηδὲν ἤνυον καὶ ἔμελλε μικρὸν ὅϲον ἡ γυνὴ κινδυνεύειν, ἡ ταύτηϲ τροφὸϲ τῇ ἐκκληϲίᾳ ϲχολάζουϲα (πιϲτὴ καὶ γὰρ ἦν) δεήϲειϲ ἀνέφερεν ὑπὲρ αὐτῆϲ τῆϲ καμνούϲηϲ. ἣν ὁ θεῖοϲ Πορφύριοϲ οὕτωϲ ἰδὼν κατωδύνωϲ τὰϲ εὐχὰϲ ποιουμένην, τὴν αἰτίαν μὴ ἀγνοῶν, ὅμωϲ ἤρετο καὶ τῇ διηγήϲει τῆϲ γραὸϲ ἐπεδάκρυϲε καὶ 'ἄπελθε' λέγει πρὸϲ αὐτὴν 'καὶ τοῖϲ προϲήκουϲι ταύτῃ καὶ τοῖϲ τεκοῦϲιν ἀνάγγειλε, τί τῷ ἰατρῷ χαρίζοιντο καὶ ὡϲ οὐδὲν ἄλλο ζητεῖ ἢ τὸ ϲτοιχεῖν τῷ λόγῳ τούτου καὶ ϲυμφωνεῖν καὶ τῇ ϲυγκαταθέϲει τούτων ναὶ δὴ καὶ τῷ ὅρκῳ. τοῦτο δὴ καὶ πρὸϲ τὴν πά|ϲχουϲαν εἰπέ· "Ἰηϲοῦϲ ὁ Χριϲτὸϲ διὰ τοῦ Πορφυρίου ἰᾶταί ϲε"'. γίνεται τοῦτο καὶ ὑγιὴϲ ἡ κόρη τῇ ϲυγκαταθέϲει τῶν τεκόντων ὁρᾶται, τὸ βρέφοϲ αὐτίκα διολθεῖϲαν τῆϲ μήτραϲ καὶ ὑγιᾶ ταύτην ὑγιῶϲ ἔχον διαφυλάξαν. ἅπερ οἱ γονεῖϲ θεαϲάμενοι τῆϲ κόρηϲ τῷ μεγάλῳ προϲῆλθον καὶ πανοικὶ ἐβαπτίϲαντο Πορφυ-

3 f. ⟨καὶ⟩ τὰ β.   21 τῷ ϲτοιχεῖν   22 f. τοῦτο δὲ
26 f. διολιϲθῆϲαν

ρίου τοῦ βρέφους ὀνομαcθέντοc. ἦcαν δὲ ὁμοῦ οἱ πεφωτιcμένοι τέccαρεc καὶ ἑξήκοντα.

τῶν οὖν Ἑλλήνων ἐπὶ τούτοιc ἀνιωμένων ὁ μακάριοc τὸν μητροπολίτην Ἰωάννην καταλαβών, τὴν βαcιλεύουcαν ἐξαιτεῖ καταλαβεῖν cὺν αὐτῷ καὶ δέηcιν τῷ κρατοῦντι προcενεγκεῖν, λῦcαι καὶ τὸ τοῦ Διὸc τέμενοc καὶ τέλεον ἀπαλεῖψαι τῆc πόλεωc τὰc τῶν εἰδώλων μυcαρὰc τελετάc. πείθεται μὲν οὖν μόλιc ὁ Ἰωάννηc, πείθεται δὲ | ὅμωc, καὶ τάχοc ἐκπλεύcαντεc καὶ τὴν Ῥόδον f. 126 καταλαβόντεc ἀνδρὶ δούλῳ θεοῦ (Προκόπιοc οὗτοc ἦν ὁ θαυμάcιοc) ἐντυγχάνομεν, ὃc ἡμῖν πάντα τὰ cυμβηcόμενα καὶ ἃ χρὴ διαπράξαcθαί τε καὶ εἰπεῖν ἡμᾶc διηγήcατο. καὶ δὴ τὴν πόλιν καταλαβόντεc τῷ πατριάρχῃ Ἰωάννῃ προcήλθομεν. καὶ ὃc ἐδεξιώcατο ἡμᾶc καὶ θεραπείαc ἠξίωcε καὶ ἐλπίδαc ἔχειν χρηcτὰc ὑπέθετο καὶ τὸν Ἀμάντιον (εὐνοῦχοc δὲ οὗτοc τῆc βαcιλίccηc) πολλὰ πρὸc τὸ προκείμενον ἡμῖν cυμπονῆcαι ταῖc αὐτοῦ παραινέcεcιν ὑπιcχνεῖτο. οὕτωc ἀκούcαντεc εἰc τὴν ξενίαν ἀπήλθομεν. τῇ ἑξῆc δὲ πάλιν τὸν μέγαν καταλαβόντεc Χρυcόcτομον, εὑρίcκομεν παρ᾽ αὐτῷ τὸν εἰρημένον Ἀμάντιον, καὶ πάντα τούτῳ καὶ ἡμεῖc | τὰ προκείμενα διηγούμεθα, καὶ οὕτωc αὐτῷ cυνταξάμενοι πρὸc τὴν ξενίαν ὡρμήcαμεν. ἕωθεν δὲ καλέcαc ἡμᾶc πρὸc τὴν αὐγούcταν τοὺc ἐπιcκόπουc εἰcήγαγε· ἡ δὲ πρεπόντωc τιμήcαcα καὶ τῆc παρ᾽ αὐτῶν εὐλογίαc τυχοῦcα καὶ πάντα καὶ ὑπ᾽ αὐτῶν καλῶc ἀναδιδαχθεῖcα (προειρήκει δὲ αὐτὰ καὶ Ἀμάντιοc) καὶ τέλοc ἐπιθεῖναι τῷ cκοπῷ τούτων ὑποcχομένη καὶ χρήματα δὲ παραcχοῦcα τούτοιc εὐθύμουc ἀπέλυcε καὶ τῷ βαcιλεῖ προcελθοῦcα πάντα κατὰ μέροc

6 λῦcαι: f. κλεῖcαι 23 ὁρμήcαμεν

ἐδίδαξεν, ὡς ὁ καλὸς Ἀμάντιος ἡμῖν ἀνηγγέλλη. ἀλλὰ καὶ αὐτὴ ἡ βασίλισσα ἅμα φωτὶ προσκαλεσαμένη τοὺς ἐπισκόπους, οἵτινες ὑπερευξάμενοι ταύτης καὶ τὸν τῆς f. 126v κοιλίας καρπὸν ἄρρενα φήσαντες εἶναι | ταῖς τοῦ ἐν Ῥόδῳ Προκοπίου προρρήσεσιν (ὡς προλαβὼν ὁ λόγος ἐδίδαξε) καὶ ὅτι ζήσει καὶ βασιλεύσει πλείστοις ἐν ἔτεσιν, ἀπηλλάγησαν ὑπόσχεσιν εἰληφότες τούτου γινομένου ναὸν αὐτὴν μέσον ἀνεγεῖραι τῆς Γάζης.

μετ᾽ ὀλίγας οὖν ἡμέρας τίκτεται τῇ βασιλίδι Θεοδόσιος ὁ νέος, εἶτα καὶ βαπτίζεται. συμπαρῆν τῷ πλήθει τῆς συγκλήτου καὶ βασιλεύς. ἕστημεν ἡμεῖς πρὸς τὴν ἔξοδον καὶ τὴν ἔγγραφον δέησιν τοῖς βασιλεῦσιν ἐπανετείναμεν. δέχεται ταύτην ὁ τὸν παῖδα φέρων ἐν τῇ πορφύρᾳ καὶ μικρὸν ὑπαναγνούς (δεδίδακτο γὰρ ὑπὸ τῆς βασιλίδος τὸ πρᾶγμα) τὴν χεῖρα ὑπὸ τὴν κεφαλὴν τοῦ βρέφους ὑποβαλὼν καὶ μικρὸν αὐτὴν ὑπεραναστήσας ἐβόησεν· ‛οἱ | βασιλεῖς γενέσθαι τὰ τῆς ἱκεσίας ἐκέλευσαν’. ἐκρότησε τὸ πλῆθος, ἐπήνεσε τὸν λόγον ἡ σύγκλητος, ὁ βασιλεὺς προσήκατο τὸ αἰτούμενον, ὡς ὁ Ἀμάντιος ὕστερον ἐξεῖπεν ἡμῖν, καὶ πρόσταγμα τίθησιν ἔγγραφον τῶν δύο δὴ τὴν κέλευσιν βασιλέων ἐμφαῖνον, καί τινι τοῦτο πιστῷ ἀνδρί (Κυνήγιος ἐκαλεῖτο) δίδωσι τὴν τῶν εἰδώλων Γάζης μέχρις ἐδάφους κελεῦον καθαίρεσιν.

ἔξεισιν οὖν ὁ ἀνὴρ πρόθυμος περὶ τὴν κέλευσιν ταῖς εἰσηγήσεσι τῆς βασιλίσσης. καὶ μετ᾽ οὐ πολλὰς ἡμέρας καὶ ἡμεῖς συνταξάμενοι τῇ τοῦ βασιλέως συζύγῳ καὶ πλεῖστα χρήματα παρὰ ταύτης εἰς οἰκοδομὴν τῆς ἣν ἔφησε κτίσειν ἐκκλησίας ἐν Γάζῃ λαβόντες, ἀλλὰ καὶ f. 127 αὐτῷ πατριάρχῃ | καὶ βασιλεῖ τὴν πρέπουσαν προσκύνησιν ἀπονείμαντες τῆς βασιλευούσης ἀπήραμεν. καὶ προσεγγίσαντες τῇ Ῥόδῳ καὶ τὸν ὁσιώτατον ἐκεῖνον Προκό-

πιον πόθῳ βουληθέντες ἰδεῖν, ἐπείπερ ὁ τῆς νηὸς ἐξάρχων οὐ συνεχώρει προσπελάσαι ταύτῃ τῷ τὸν ἄνεμον ἐπιτήδειον πνέειν, τῷ θελήματι τούτου δόντες καὶ ἡμεῖς ἑαυτοὺς ἐπλέομεν, ἐπλέομεν δὲ πολλὰ λυπούμενοι περὶ τοῦ ἀνδρός. μεθ᾽ ἡμέρας οὖν δύο πλεόντων ἡμῶν εὐόρμως ἄνεμος αἴφνης γίνεται κατὰ πρόσωπον τῆς νηὸς καὶ συνοχῇ τοῦ ἀέρος βροντῶν τε κτύποι καὶ ἀστραπῶν ἐπιφάνειαι κυμάτων δὲ δεινῶν ἐπαναστάσεις φρικώδεις, καὶ ἦμεν ἀπειρηκότες ὥσπερ τὸ ζῆν καὶ τὰς εὐχὰς Προκοπίου τοῦ· μεγάλου καλοῦντες. | πᾶσαν οὖν ἐκείνην τὴν νύκτα τῷ κλύδωνι τῆς θαλάσσης ἐνταλαιπωρήσαντες, τῷ Πορφυρίῳ μικρὸν πρὸς ὕπνον κατενεχθέντι ὄναρ ὁ Προκόπιος ἐφίσταται ἀρειόφρονα γνωρίζων τὸν ναύκληρον καὶ ὡς αὐτοῦ τῇ ὀρθοδόξῳ πίστει συντιθεμένου παύσεται τὰ τοῦ κλύδωνος. λέγει τὸν ὄνειρον ὁ Πορφύριος, γνωρίζει τῷ ναυκλήρῳ τὸν λόγον, τὴν συνείδησιν ἐκεῖνος ἐλέγχουσαν ἔχων ὁμολογεῖ τὴν αἵρεσιν, ἀρνεῖται ταύτην καὶ τὰ τοῦ κλύδωνος παύεται. εἶτα καλῶς τὸν ἔκπλουν ποιήσαντες πεφθάκαμὲν τὰ τῆς Γάζης παράλια, τὸν τόπον αὐτόν, ὃν Μαϊουμᾶν κατωνόμαζον.

ὡς δὲ τὴν πόλιν εἰσήλθομεν καὶ περὶ τὸ τετράμφοδον λεγόμενον ἀφικόμεθα, ὅπου δὴ | f. 127v καὶ μετὰ τοῦ Ζωοποιοῦ σταυροῦ τὸ πλῆθος ἡμῖν ἀπήντησε, τὸ ἑστὸς ἐκεῖσε τῆς Ἀφροδίτης εἴδωλον ἐν μετεώρῳ (γυμνὸν δὲ ἦν ἐσχηματισμένον καὶ μηδεμίαν ὑπεμφαῖνον τῶν ἀσχήμων μελῶν περικάλυψιν, πιστεῖτε μόνον) εὐθὺς καὶ εἰς λεπτὰ διαρρήγνυται καὶ δύο τῶν εἰδωλολατρῶν τῷ πεσεῖν ὑπ᾽ αὐτὸ ἑστηκότας ἀπέκτεινεν.

οὐ πολλαὶ παρῆλθον ἡμέραι καὶ ὁ παρὰ βασιλέως

8 f. κυμάτων τε 20 Μαϊτᾶν 26 πίστει τε

σταλεὶς παραγίνεται (Κυνήγιος οὗτος ἦν ὁ πιστός, ὃν προλαβὼν ὁ λόγος ἐγνώρισεν) ἑπομένους ἔχων αὐτῷ τόν τε δοῦκα τοῦ τόπου καὶ τὸν ὑπατικόν. ὃς ἐπ' ὄψεσιν αὐτῶν τοῖς τῆς πόλεως τὰ βασιλέως ἀνεγίνωσκε γράμματα καταστραφῆναι τὰ τεμένη τῶν εἰδώλων κελεύοντα καὶ πυρὶ σὺν αὐτοῖς εἰδώλοις παραδοθῆναι. | λέγεται τοῦτο καὶ στρατιῶται στέλλονται καὶ πάντα ναὸν δαιμόνων καὶ πᾶν εἴδωλον αὐτῶν εὐκόλως ὡς ἂν εἴποις καθεῖλον καὶ τῷ πυρὶ προσανῆψαν, ναὶ δὴ καὶ αὐτὸ πάντως ἐσχάτως τὸ τοῦ Μάρνα, ὃ κατ' ἐξαίρετον ἐτίμων οἱ ἐναγεῖς ἐκεῖνοι καὶ βέβηλοι, μεῖζόν τε τῶν ἄλλων τυγχάνον καὶ σκεύεσι πολυτίμοις ἀλλὰ δὴ καὶ οἰκοδομῶν κάλλεσιν ἐπιφανῶς ἔχον καὶ θαυμαστῶς. ὧν μηδένα Χριστιανὸν λαβεῖν τι τὸ σύνολον ὁ Πορφύριος παρηγγύησε. καιομένου τοίνυν καὶ τούτου ξύλον ὑπερχυθὲν καιόμενον ἐμπίπτει τῷ τριβούνῳ καὶ διαρρήσσει μὲν αὐτοῦ τὴν κεφαλὴν καὶ τοῦ πυρὸς αὐτὸν τίθησι παρανάλωμα, καὶ γίνεται δῆλον ὡς τοῖς εἰδωλολάτραις πρόσ-f. 128 κειτο καὶ ὡς ὁ τῶν ἐκδικήσεων θεὸς ἐπαρ|ρησιάσατο. εἶτα τί; καὶ τὰ κατ' οἴκους εἴδωλα (πολλὰ γὰρ ἦσαν εὑρισκόμενα) τῷ πυρὶ μετὰ τῶν μαγικῶν παρεπέμποντο βίβλων. πολλοὶ οὖν τῶν ἀπίστων προσιόντες ἐφ' ἑκάστης ἐβαπτίζοντο τῆς ἡμέρας τὸν τῆς θεογνωσίας καλῶς διδασκόμενοι λόγον. καὶ οἱ μὲν ἄρχοντες τούτων οὕτως γεγενημένων ἐκεῖθεν ἀπάραντες τὰ οἰκεῖα κατέλαβον.

ὁ δέ γε θαυμαστὸς Πορφύριος κατὰ τὸν τῆς βασιλίδος λόγον τὸν ναὸν οἰκοδομῆσαι βουλόμενος, ἐφ' ᾧ καὶ τὰ χρήματα παρὰ ταύτης ἔλαβε, διαπορούμενος ἦν, οἵῳ σχήματι τοῦτον οἰκοδομήσει. καὶ ἅμα καταλαμβάνει

2 αὐτῶ 9 f. πάντων 10 κατεξαίρετον 14 χριστιανῶν 15 f. ὑπεκχυθὲν

τιϲ μαγιϲτριανὸϲ γράμματα ταύτηϲ τῷ ὁϲίῳ κομίζων εὐχάϲ τε ἀπαιτοῦντα ὑπέρ τε ἀνδρὸϲ αὐτῆϲ καὶ υἱοῦ τῶν βαϲιλέων καὶ τὸ ϲχῆμα δηλοῦντα τοῦ ὀφείλοντοϲ | οἰκοδομηθῆναι ναοῦ. δοξάϲαϲ οὖν κἀν τούτῳ τὸν θεὸν ἤρξατο τὴν οἰκοδομίαν ἐν αὐτῷ ποιεῖϲθαι τῷ τόπῳ, ἔνθα ὁ καυθεὶϲ ἵϲτατο ναὸϲ τοῦ Μάρνα. γίνεται οὖν τότε φθόνῳ δαιμόνων πρᾶγμα δακρύων παρ' ὀλίγον ἄξιον· τρεῖϲ παῖδεϲ ἐμπίπτουϲι τῷ ἐκεῖϲε τυγχάνοντι βαθυτάτῳ φρέατι, ἀλλὰ θεὸϲ ταῖϲ εὐχαῖϲ Πορφυρίου ἀβλαβεῖϲ αὐτοὺϲ ἀναϲώζει καὶ μηδὲν ὅλωϲ κακὸν ὑπομείνανταϲ. τῷ δὲ ἑξῆϲ ἐνιαυτῷ κίοναϲ δύο καὶ τριάκοντα ϲτέλλει διά τινοϲ ἡ βαϲιλὶϲ τῷ ναῷ περικαλλεῖϲ καὶ ξένουϲ ἡδύ τε καὶ χαρίεν ἀποϲτίλβονταϲ. καὶ οὕτω τὴν οἰκοδομὴν ὁ ναὸϲ ἔϲχε καλῶϲ νεύματι θείῳ τοῦ πάντα δυναμένου θεοῦ ἡμῶν.

κατ' ἐκεῖνο δὲ καιροῦ γυνή τιϲ ἐξ Ἀντιοχείαϲ, Ἰουλιανὴ καλουμένη, τὴν | Γάζαν κατέλαβε τῇ Μανιχαίων [f. 128v] αἱρέϲει δεδουλωμένη. ἥτιϲ τοὺϲ νεωϲτὶ προϲιόνταϲ τῇ ὀρθοδόξῳ πίϲτει κακοτεχνίαιϲ τιϲὶν διέϲτρεφε καὶ χρημάτων δόϲεϲιν. ἔϲτι δὲ πολὺ τὸ διεϲτραμμένον τῆϲ τοιαύτηϲ αἱρέϲεωϲ· θεοὺϲ πολλοὺϲ παρειϲάγουϲι, τοὺϲ Ἕλληναϲ πρὸϲ ἑαυτοὺϲ οἱ κακόφρονεϲ ἐφελκόμενοι· γένεϲιν καὶ εἱμαρμένην καὶ ἀϲτρολογίαν διδάϲκουϲι, τοὺϲ ἀνθρώπουϲ πρὸϲ τὸ ἁμαρτάνειν ἀνδραποδίζοντεϲ, ὡϲ μὴ γνώμηϲ ἐξ οἰκείαϲ φερομένουϲ πρὸϲ τοῦτο, ἀλλ' ἐξ ἀνάγκηϲ τῆϲ εἱμαρμένηϲ· ὁμολογοῦϲι Χριϲτόν, ἀλλὰ δοκήϲει καὶ φανταϲίᾳ τὴν ἐνανθρώπηϲιν ποιηϲάμενον, ἄλλων αἱρετικῶν οἰκειούμενοι πίϲτειϲ κἀντεῦθεν πολλοὺϲ ὑποϲύροντεϲ. ὅμωϲ τῆϲ ψυχοφθόρου γυναικὸϲ | ἐκείνηϲ τινῶν ταῖϲ ἀπάταιϲ καθυπαχθέντων ὁ Πορφύριοϲ τὸ πρᾶγμα

18 τιϲὶν : τιναῖϲ   19 ἔϲτι : ἔτι

γνοὺϲ οὐκ ἠμέληϲε τὴν διόρθωϲιν, ἀλλὰ πρὸϲ διάλεξιν ἢ μᾶλλον εἰπεῖν διόρθωϲιν τὴν γυναῖκα μεταπεμψάμενοϲ, ἐπεὶ μετὰ πολλὰϲ ἐκείνη λόγων προτάϲειϲ καὶ ἀντιθέϲειϲ ἡ αὐτὴ ἦν καὶ οὐκ ἐνεδίδου τῆϲ πονηρᾶϲ ἐκείνηϲ γνώμηϲ καὶ βεβήλου θρηϲκείαϲ, ἐν κακῷ τοὺϲ λόγουϲ ποιουμένη τὴν ψυχὴν ἀπέρρηξεν. οἱ δέ γε ϲυνόντεϲ αὐτῇ φοβηθέντεϲ καὶ προϲελθόντεϲ τῷ ἐπιϲκόπῳ, καὶ βαπτιϲθέντεϲ, πρότερον καλῶϲ τὴν θεογνωϲίαν ἐκπαιδευθέντεϲ, τῆϲ ἀγαθῆϲ μερίδοϲ γεγόναϲι καὶ πιϲτοὶ διὰ τοῦ βαπτίϲματοϲ ἐγνωρίϲθηϲαν, ἀναθέματι τὸν Μάνην ὑποβαλόντεϲ· ἀρχηγὸϲ δὲ τῆϲ αἱρέϲεωϲ ταύτηϲ ὁ Μάνηϲ οὗτοϲ.

f. 129 πέμπτοϲ | ἔκτοτε χρόνοϲ ἐξῆκε, καὶ ὁ ναὸϲ τέλοϲ ἔλαβε καὶ τῆϲ Εὐδοξίαϲ ἤκουϲε καὶ τὰ ἐγκαίνια κατ' αὐτὴν εἴληφε τὴν ἡμέραν τοῦ πάϲχα. καὶ ὁ Πορφύριοϲ πολὺϲ ἦν οὐ τότε μόνον ἐν ἐλεημοϲύναιϲ, ἀλλὰ καὶ πάντοτε καὶ μάλιϲτα ταῖϲ τῶν ἁγίων νηϲτειῶν ἡμέραιϲ· ὃ καὶ κατὰ διαθήκαϲ ὕϲτερον διετυπώϲατο γίνεϲθαι.

φθόνοϲ ἐντεῦθεν ἀνήφθη τοῖϲ τὰ Ἑλλήνων φρονοῦϲι καὶ τοὺϲ πιϲτοὺϲ ἐκάκουν, ὀλέϲαι δὲ καὶ τὸν μέγαν ἐζήτουν καὶ ἐπεὶ μὴ εὕριϲκον (δέδωκε γὰρ τόπον τῇ ὀργῇ), τὰϲ τοῦ ἐπιϲκοπείου κατεάξαντεϲ θύραϲ τὰ ἐν αὐτῷ πάντα διήρπαϲαν. γίνεται τῷ ἁγίῳ παιδίϲκη τιϲ πρόφαϲιϲ ϲωτηρίαϲ· ᾗπερ ἐντυχών, ἐπείπερ χριϲτιανὴν μὴ εἶναι παρ' αὐτῆϲ μεμάθηκε, τὸν λόγον αὐτῇ τῆϲ ἀ|ληθείαϲ ἐκθέμενοϲ ἐβάπτιϲέ τε ταύτην καὶ χριϲτιανὴν ἐποίηϲε κἀν τῷ οἴκῳ ταύτηϲ μείναντεϲ μετελάβομεν ἄρτου. Εἰρήνη τῇ κόρῃ τὸ ὄνομα. τοῦ θορύβου τοίνυν καταϲταλέντοϲ ἡμεῖϲ τὴν ἐκκληϲίαν κατελάβομεν καὶ τὸν Βαρουχᾶν εὕρομεν μόνον, ταῖϲ τῶν πληγῶν ἐπαγωγαῖϲ

20 cf. Rom. 12, 19

θάνατον περιμένοντα. ἔγνω τὰ πεπραγμένα τῇ ἑξῆς ὁ ὑπατικὸς καὶ πέμπει κομενταρήσιον καὶ κολάζει τοὺς τὴν στάσιν ποιήσαντας. μετὰ γοῦν τινα χρόνον ὁ μέγας Πορφύριος τὴν ὑποδεξαμένην αὐτὸν κόρην κατηχήσας μονάζουσαν ἀποκείρει καὶ τοῦ ἀγγελικοῦ σχήματος ἀξιοῖ. καὶ μέντοι δὴ καὶ ταῖς κατὰ θεὸν ἀρεταῖς ἐκείνη μεγάλη γίνεται καὶ πολλὰς τῶν γυναικῶν ἐνάγει πρὸς τὸν ὅμοιον | ζῆλον. f. 129v

σὺ δέ, ἡ τιμία κεφαλὴ καὶ αἰδέσιμος, ὁ καλὸς Πορφύριος μετά γε χρόνον τῆς ἐπισκοπῆς εἰκοστὸν καὶ τέταρτον νόσῳ θανάτου πάντως αἰτίᾳ ληφθεὶς τὴν ψυχὴν ἐν εἰρήνῃ τῷ θεῷ παρατίθεσαι ἐν εἰκοστῇ ἕκτῃ τοῦ Φεβρουαρίου μηνός. καὶ νῦν ἐν οὐρανοῖς οἰκῶν καὶ τὰ ἐκεῖσε κάλλη διορθῶν καὶ τὰς ὑπὲρ τοῦ κόσμου πρεσβείας ποιούμενος χάρισαι ταῖς εἰς θεὸν εὐκτικαῖς ἱκεσίαις σου καὶ βασιλεῖ ἡμῶν τῷ σεμνῷ τῷ πιστῷ τῷ πᾶσιν ἐμπρέποντι τοῖς ἀγαθοῖς κατορθώμασι | μακρὰν ζωὴν καὶ χαρμόσυνον ἰσχύι θεοῦ συνεχομένην τε καὶ ἰθυνομένην, χρηστῶν ἐκ τρόπων ταύτην ἐκκαλουμένῳ, ἀλλὰ δὴ καὶ μάλιστα μενόντων νέμοις τούτων τὴν εὐκληρίαν, ἣν αἰῶνες ἔχουσι, καὶ εἰς αἰῶνας, λαμπροῖς ἡδυνομένῳ καὶ καλοῖς τρόποις, πᾶσι χαίροντι σὺν ἁγίοις ἀξίως καὶ βασιλείας τρυφῶντι τῆς ἀΰλου· καὶ γὰρ ἐν αὐτοῖς τῷ θεῷ πρέπει δόξα κράτος τιμή τε καὶ προσκύνησις ἅμα καὶ νῦν καὶ ἀεὶ καὶ εἰς χρόνους αἰώνων. ἀμήν.

INDEX NOMINVM*

* Nomina Ἰησοῦς Χριστός Χριστιανός omissa sunt.

INDEX VERBORVM

INDICVLVS GRAMMATICVS

adverbia situs et motus confunduntur ut εἰς et ἐν cf. ἐκεῖσε

articulus deest κατὰ πρώτην τάξιν 51, 16 (at cf. 51, 17. 21) τῶν λαϊκῶν ἐμφανῶν 12, 10 τῶν πολιτῶν πιστῶν 54, 4 at cf. τὸ πνεῦμα τὸ ἅγιον 12, 12. 6, 7. 10, 22 al. τὰ πλήθη τῶν οἰκητόρων τὰ κυματώδη ἦν θεάσασθαι 41,8 Εὐτρόπιον τὰ μεγάλα τότε ἰσχύοντα 24, 20 γεννᾷ τὸν ἄρρενα 38, 21 cf. 38, 14 ἐκ τῆς Αντιόχου 65, 1 τὴν Θεσσαλονικέων 4, 11. 15 τῆς Γαζαίων 2, 22. 49, 5*

negatio apud partic. semper μή excepto οὐ θέλων 60, 7 μή . . . τίς pro μηδείς: ὥς τινας μὴ δύνασθαι 16, 11 ὡς μὴ δύνασθαί τινα 41, 7 τινὸς μὴ ἀπαγγείλαντος 48, 20 μὴ ἀπαγγείλῃς τινί 77, 18 cf. 62, 2 οὐ . . . οὔτε, μή . . . μήτε, μηδέ . . . μηδέ, οὔτε γάρ pro οὐ γάρ, οὐ pro μή in sententiis condic. cf. ind. verb.

nominum declinatio: genetivus sing. ἤχους 70, 1 accusativus sing. verborum III declinationis primam sequi videtur δράκαν* 46, 19 νύκταν* 47, 24 σπυρίδαν* 66, 8 ἀσθενῆν* 77, 7 masculinorum in -ος numerus pluralis in genus neutrum abiit ut δεσμός δεσμά (60, 7) sic μάρμαρα 63, 7 θεμέλια 65, 20 contra θεμελίους 74, 13 accusativus plur. nominum in -εύς exit in -εῖς ut βασιλεῖς 24, 11 al. excepto συγγραφέας 2, 4

nomina deminutiva nulla vi σπυρίδιον 67, 12 id quod σπυρίδα μεγάλην 66, 24 ψιάθιον 77, 21 cf. ψίαθος 77, 22

nominum syntaxis: *genetivus* obiectivus κόπος τῆς ὁδοῦ 15, 8 τὴν ἀδικίαν τῶν Χριστιανῶν 29, 15 ἡ τοῦ θεοῦ ἐλπίς 6, 10 cf. 29, 14 τὸν φόβον αὐτοῦ 60, 14 al. gen. subiectivus ἐκ τῆς πολλῆς θλίψεως τῶν εἰδωλολατρῶν 25, 14 al. genetivus loci et temporis, unde computatur ut ἀπὸ τριῶν μιλίων τῆς πόλεως 65, 22 cf. ἀπό et μετά *dativus* pro accus. cf. αἰτεῖν, δεῖσθαι, ὑπεισέρχεσθαι, ἐν dat. relationis τῷ σώματι ἀσθενῆ 77, 6 ἐτήκοντο τῇ καρδίᾳ 74, 10 *accusativus* pro dat. πέντε ἡμέρας προάγουσιν οἱ κατ' αὐτοὺς μῆνες τοὺς Ῥωμαϊκούς 19, 23 προλαβὼν τὸν Ἱλάριον ἡμέρας ἑπτά 25, 9. cf. εἰς, δηλοῦν* συναντᾶν* pro gen. cf. δεῖσθαι* duplex post ἔχειν: αὐτὸν εἶχον δοῦλον θεοῦ 8, 22 cf. 22, 10

pronomen *possessivum* raro adhibetur ut τοὺc ἐμοὺc ὀφθαλμούc 7, 13. 5, 20. 10, 15. 14, 1 al. non raro ἴδιοc pro pron. poss. III personae τῆc ἰδίαc πατρίδοc 6, 16. 17, 18. 54, 21. 75, 3 εἰc ἴδιον κέρδοc 54, 4 pron. reflex. accedit εἰc τὰ ἴδια ἑαυτῶν 19, 16 *reflexivum* haud recte pro αὐτόc: ἀπολύcαντεc τὴν κόρην πρὸc τὴν ἑαυτῆc* μάμμην 78, 13 pronominis reflex. I et II personae vicem gerit pronomen reflex. III personae: pro ἐμαυτοῦ 7, 5. 30, 12 pro cεαυτοῦ 48, 15 pro ὑμῶν αὐτῶν 36, 10 saepissime αὐτόc pro pronomine reflex. οἶδεν ἐπιcτρέφειν εἰc τὸ νοητὸν αὐτοῦ φῶc 26, 7 ποιεῖ τὸ ἔλεοc αὐτοῦ 35, 1 cf. 5, 8. 37, 9. 46, 7. 48, 6 al.

syntaxis laxior cυναντήcαc αὐτῷ* ... μὴ δυνάμενον 5, 18 οὐ θέλων αὐτὸν ἀπολέcαι ἀλλὰ cῶcαι καὶ ἐπιγνῶναι τὸ δέον 60, 8 cf. 3, 15. 63, 20 p. 69, 6—70, 4 novies particula γάρ adnectuntur enuntiata

verborum declinatio: *augmentum* temporale neglectum οἴκηcεν 4, 22 οἰκονομήθην 8, 21 οἴμωξαν 52, 18 αἰτήcαcθε 38, 7 ἀνευφήμουν 52, 21 εὑρίcκοντο 59, 10 εὗρεν 14, 15 εὕραμεν 18, 19. 35, 10. 77, 1. 78, 21 εὗρον 25, 10. 30, 16. 40, 4 (additum verbo εὑρίcκειν 49, 19. 58, 6. 14. 66, 18. 67, 14. 15) ἀπελπιcμένα* 7, 18 εἰcενέγκαμεν* 10, 9 *verba contracta* terminatione soluta δέεcθαι 66, 10 ἐδέετο 20, 11 πλέετε 45, 16 *aoristus* II ad similitudinem aor. I revocatus καταλεῖψαι 4, 13 καταλείψωμεν 33, 23. 62, 17 εὕραμεν 18. 19. 35, 10. 77, 1. 78, 21 ἔπεcαν 66, 4 προcέπεcαν 29, 3. 73, 13. 79, 13 ἀπέλθατε 36, 9. 38, 9 ἐξήλθαμεν 40, 21 ἐξέλθατε 32, 21 εἶπαc 40, 8 εἴπαμεν 48, 13 εἴπατε 33, 22 εἶπαν 35, 21. 45, 16. 46, 12. 57, 24. 58, 21 contra διένειμον pro διένειμα 7, 2 διέδωκαν 36, 16 μετέδωκαν 48, 26 παρέδωκαν 53, 21 imperativus ἀνάcτα 15, 4 *perfectum* οἴδατε *suspecta* διδοῦcθαι 75, 4 (at cf. 75, 16) ζεύγνωμεν 80, 10 ἔcηται 74, 17

verbi syntaxis. genera: medium ποιεῖcθαι quater 27, 4. 32, 11. 71, 18. 72, 4 dicitur ἔλεοc ποιεῖν sim. cf. ποιεῖν act. pro med. καταπαῦcαι 16, 24 pro pass. ἐγγὺc τοῦ πληρῶcαι 38, 12 ὡc νομίζειν 6, 9 cf. adn. dep. pass. pro med. cf. ἀποκρίνεcθαι

verbi modi: *indicativus* pro coni. ἐὰν ἐλάληcεν 55, 24 *coniunctivus* pro ind. εἰ καὶ ἐπιτύχωcιν 50, 16 εἰ καὶ προcέλθωcιν 61, 4 pro opt. ποίαν οὐκ ἂν δικαίωc παράcχω δίκην 2, 7 ἧc τῶν ἁγίων εὐχῶν μέροc ἔχωμεν 82, 2 ὧν ταῖc εὐχαῖc ἐλεήcῃ ἡμᾶc ὁ πατὴρ 82, 16 *optativus* pro coni. ἐὰν εἴη 1, 9 *infinitivus* post verba eundi pro part. fut. 6, 1. 22, 14. 24, 11. 66, 15. 74, 11 al. de enuntiatis consecutivis cf. ὡc, ὥcτε inf. cum pronomine interrogativo coniungitur βουλευcάμενοι τίνι ἐγχειρίcαι 12, 3 διδάcκω τί ποιῆcαι 40, 17 s. ἔχειν cum inf. aor. pro fut. cf. ἔχειν inf. pro partic. cf. τυγχάνειν acc. c. inf. pro inf. τοcοῦτον ἡμᾶc ἠγάπηcεν ὡc αὐτὸν παρακα-

λέcαι τὴν δέcποιναν 45, 6 τοcοῦτον ἐμάνηcαν οἱ εἰδωλολάτραι ὡc αὐτοὺc ἐπᾶραι 76, 11 cf. 59, 9. 77, 7 *participium*: nominativus absol. προcκυνήcαντεc .. ἔθηκεν 14, 4 χαλάcαν (i. τὸ βρέφοc) τὴν μίαν χεῖρα οὐκ ἠδύνατο τὸ ὑπόλοιπον cῶμα κατενεχθῆναι 26, 12 s. cf. 58, 17 πέμψαντεc τὴν cπυρίδα ἐπέτρεψεν 66, 24 genetivi abs subiectum omittitur ἐκέλευcεν χρήματα ἐπενεχθῆναι καὶ ἐπενεχθέντων εἶπεν 45, 20 ἐκέλευcεν ἡcυχίαν γενέcθαι καὶ γενομένηc ἤρξατο 66, 9 partic. cum nomine non congruens genere: ἐπενεχθέντων πληγῶν 78, 1 cf. adn.

verbi tempora: *praesens* hist. 4, 15. 8, 7. 13, 7. 15, 17 al. praesertim sic ut εὐθέωc ὥρμηcεν . . . καὶ ἀξιοῦται 4, 16. 8, 2. 12. 12, 19 al. praes. pro futuro φυγῇ χρήcονται καὶ ἀπόλλομεν 36, 25 cf. 15, 18. 27, 24. 33, 25. 34, 3 al. inf. praes. pro fut. ἐπαγγέλλομαι ποιεῖν 38, 6 cυνεταξάμην κτίζειν 45, 20 pro aor. ἣν λέγουcι κτίζειν τὸν Ἀcκληπᾶν 18, 7 partic. praes. pro fut. ἐπέμφθηcαν εὐαγγελιζόμενοί τινεc 39, 3 ἐπιπέμψαι cτρατιώταc τύπτονταc αὐτούc 52, 20 *futurum* legitur duodevicies, eius loco saepius ἔχειν cum inf. aor. aut praesens fut. pro imperat. ἕτοιμοι ἔcεcθε* 15, 17 *aoristus* pro praes. ἐκθήcομαι ἅτινα ἐμνημόνευcα 3, 9 partic. aor. pro praes. οἴκηcεν ἐν cπηλαίῳ κἀκεῖ διατρίψαc ἔτη πέντε 4, 22 cf. 24, 8. 34, 9. 74, 1 al.

perfectum pro aor. ἐλήλυθα 1, 16 γέγονεν 43, 16. 54, 22. 56, 17. 64, 1 δέδωκεν 9, 16*. 36, 13. 46, 2. 4. 18. 57, 12 ἐνδέδωκεν 47, 6 διαπέπρακα 7, 3 ἑώρακεν 11, 1 al. pro plusquamperf. ἐνήνοχα 8, 23 πεποιήκαcιν 18, 21 *εἶναι cum partic.* praesentis οὔτε γὰρ ἦν ὁ ἀποcτερούμενοc 68, 8 οὐδεὶc ἦν ὁ ὑπακούων 66, 17 cf. 18, 23 aoristi ἦν φροντίcαc 34, 8 ἦν προκηρύξαc 63, 22 s. ἦν ἀναθεματίcαc 54, 2 ἦν προτρεψάμενοc 64, 25 ἦμεν περιπτυξάμενοι 19, 6 perfecti ἦν τετυπωμένα 67, 19. 21 ἦν ἐγκεχειριcμένοc 12, 13 (71, 12)

verbi numeri: numerus pluralis verbi excipit pluralem nominis neutrius generis εἴδωλα ἤμελλον καταcτρέφεcθαι 49, 16 τὰ εὑριcκόμενα τὰ μὲν πυρὶ παρεδίδοντο τὰ δὲ εἰc βόρβορον ἐρρίπτοντο 59, 10 εὑρίcκοντο βιβλία 59, 11 cf. 59, 14 περιεῖχον τὰ γράμματα 62, 20. 24. 63, 6 φρέατα τυγχάνουcιν 65, 25 οὔτε γὰρ πόνον ἐποίουν (i. τὰ cταυρία) 67, 21 cf. 24, 12 at multo saepius ut φέρει τὰ διηγήματα 1, 3 δρώμενα γίνεται 1, 3 al.